ὡς τήν Dest. — § 377 πολλοὶ γάρ Bk., πολλοὶ γοῦν L, πολλοὶ δέ PAMVRC. — § 380 ὠρμημένων MLVR, ὡρμωμένων PA, ὁρμημένων C. — § 384 νεκρῶν· ἀνηρημένων Exc. Peiresc. — § 386 χρησμούς LExc. Peiresc., θεσμούς PAMVRC. — § 388 ἐνθέων Lugd., ἔνθα vlg. cf. Praef. Ns. p. XLIX. — § 388 καταφλέξεσθαι· γρ. κατενεχθήσεσθαι mg. P, καταφλεχθήσεσθαι LExc. Peiresc., καταφλεγήσεσθαι C, cf. G. Schmidt p. 466. — § 388 κατασκήψη· ἐγκατασκήψη PAML Exc. Peiresc. — § 389 τοὺς ὁμοίους· ὁμοίους Df. — § 391 δόλῳ C et fort. Heges., λόγῳ PAMLVR. — § 391 τολμωμένων· τετολμημένων Ns. — § 393 ἀντικαθημένων· ἀντικαθισταμένων PC. — § 394 προήρητο AM (sec. Herw.) προηγεῖτο VR, προηρεῖτο PLC. — § 396 λείαν del. Dest. — § 396 ἄξουσιν PA, ἀνάξουσιν MLVRC. — § 399 κτήσεως· κτήσεων LExc. Peiresc. — § 400 κατειληφότες· προκατειληφότες LCExc. Peiresc. — § 401 ἠρεμοῦσαν· αὖθις ἠρεμοῦσαν C. — § 402 ἐξ οὗ MLLat. Exc. Peiresc., ἐξόδου PAVR, ἐξόδου ὅτε C, ἐξ ὅτου Dest. — § 402 πολίχνην PAM, καὶ πολίχνην LVRC. — § 404 ἀκμαίους· ἀκμαιοτάτους PAM. — § 405 προσφθειρομένων Cob., προσδιαφθειρομένων vlg. — § 406 ληστρικόν· τὸ ληστρικόν PVRC, spurium Ns. — § 406 συνενόσει· συννοσεῖ omisso mox γοῦν Herw. — § 412 ἀνίσταται VRC, ἐφίσταται PAML. — § 413 ἑλθών· ἑλθόντων PAVRC, ἐξελθόντων M. — § 415 ἤδη ὄντος· ὄντος ἤδη Ns. — § 415 κρίναντες ἡδόξουν· ἔκρινον ἄδοξον Herw. — § 418 δύνασθαι· acc. ex corr. A et Lat., om. PMLVRC, prob. Dest. cf. Praef. Ns. p. XXXI. — § 421 νέων· Ἰουδαίων PAM. — § 423 τόπον inser. Nr. — § 423 τοὺς μὲν φυγάδας· τὰς μὲν φυγάς Dest. — § 423 διέφθειρον· διέφθειρεν L, διέφερον Dest., ὑπεδέξατο vel simile quid Ns. — § 425 ξίφεσιν· ὀϊστοῖς L, *sagittis* Lat. Heges. — § 426 διακλείειν· διακωλύειν L. — § 427 τούς· τε τούς Ns. — § 427 διεκπαίοντες VRC, διεκπεσόντες PAML. — § 428 συναπολεῖσθαι AMLV, συναπολέσθαι P, συναποκλεῖσθαι R, συναποκεκλεῖσθαι C. — § 429 φθασάντων· μὴ φθασάντων R. — § 429 ἐκράτει· κρατεῖ Ns. — § 431 ἐξέσεισαν· ἐξέστησαν C. — § 431 γενόμενοί τε παμπληθεῖς· ἠτιμωμένοι δὲ παμπληθεῖ L. — § 432 τείχει τε καὶ πλήθει ed. pr., πλήθει codd. — § 432 τυγχάνουσα add. C. — § 433 εἰργομένοις· εἰργομένους PM. —

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

καταφλεγῆναι rell. — § 486 *πανταχόθεν* LC, *πανταχόσε* PAMVR. — § 486 *φρουρούς· φρουράς* VRC. — § 486 *τάγματος· συντάγματος* A. — § 490 *ὅλην* om. AL, prob. Herw. — § 490 *πάσας* Dest., *πᾶσαν* vlg. — § 490 *ἀφῄρηντο· παντα-χόσε* add. A. — § 491 *ἔτη·* excidit *καὶ μῆνας ὀκτώ*, Ns. — § 493 *διαδράς· διαδιδράσκει* P. — § 493 *ἀνεῖλε· ἀνελών* P. — § 494 *Ἰσπανίας* MC et corr. A, *Σπανίας* PALVR. — § 494 *κατὰ μέσην ἐδολοφονήθη τήν* trsp. Ns. — § 496 *ἐπεσημηνάμην· ἐπισημαίνομαι* PAL. — § 497 *τὴν τῶν· τὴν κατὰ τῶν* Huds. — § 499 *περιπλεόντων· παραπλεόντων* Huds. — § 501 *ἔπλει* PLC, *ἀνέπλει* AMVR. — § 504 *ἦρχε* Lugd., *ἦχε* C, *εἶχε* rell. — § 507 *ἐν ἔθει ὄντες· ἐθίζοντες* L, *ἐνεθισθέντες* vel similе propter hiatum Ns. — § 507 *τοῦ φρουρίου* C, *τῷ φρουρίῳ* vlg. — § 509 *προσγινομένων· αὐτῷ* add. Lugd. — § 510 *προσεφθείροντο* Cob., *ἐφθείροντο* vlg. — § 510 *δημοτικῶν οὐκ ὀλίγων· δημοτικὸν οὐκ ὀλίγον* Dest. — § 510 *πειθαρχούντων* Lugd., *πειθαρχεῖν* PA, *πειθαρχία* MLVRC, *πειθαρχοῦν* Dest., *πειθαρχίᾳ χρωμένων* Herw. — § 511 *Ἆν* PA, *Ναῖν* MLVRC; itidem § 517. — § 514 *ἐπιβουλήν· ἐπιβολήν* Dest. — § 516 *τῶν Ἰδουμαίων* L, *τῆς Ἰδουμαίας* rell. — § 516 *πολλούς· λοιπούς* ed pr. — § 516 *Μασάδᾳ· Μασάδῃ* Ns. — § 519 *ἑτοίμως· προθύμως* P. — § 520 *ἰσχύν· ὁρμήν* L. — § 523 *πρώτην· πρῶτον* M, quod placet Hlw. — § 523 *διατελεῖ* L, *διατελοίη* C, *διατελέσει* rell. — § 527 *συνδιεφθαρμένων· διεφθαρμένων* PA. — § 529 *πρώτην· πρῶτον* L. — § 529 *δέ· δή* Dest. — § 529 *πόλιν· πολίχνην* PAML. — § 532 *πολίχνη· πόλει* A. — § 534 *ὡς — πλῆθος* in codd. leguntur post *μυριάδες·* trsp. Bk. — § 534 *ἐξαρκούντων· ἐξαρκεῖν δυναμένων* M. — § 536 *ὑπό* del. Herw. — § 537 *σκληροτέραν· σκιροτέραν* Lint. — § 537 *πορθουμένοις· τόποις* suppl. Lugd. — § 539 *ᾐχμαλωτισμένοι* VRC, *αἰχμαλωτισάμενοι* PAML. — § 539 *ὑπέστρεψαν· ὑπέστρεφον* Bk. (ap. Ns.). — § 540 *εἴσεισιν* VRC, *εἰσῆλθεν* PAML. — § 540 *εὗρε· εὗροι* Dest. — § 542 *διαστῆσαι· διαστασιάσαι* L. — § 545 *στάσις· φόνος* L. — § 546 *βασιλειῶντι* MVRC, *βασιλεύοντι* PA, *βασιλεῖ ὄντι* L. — § 549 *καὶ τοῦ Ὄθωνος* acc. ex Lugd. — § 550 *ἐκ· ἀπό* L. — § 552 *ἡγεμόνων· εἷς* suppl. Hlw. — § 554 *παραστησάμενος· παρατηρησάμενος* VLugd. — § 556 *τοὺς πολ-*

λούς· πολλούς VRC. — § 557 προϊόντων· ἢ τῶν suppl. Ns. — § 557 ἐργατῶν· τῶν ἐργατῶν PAVR, τῶν ἐργαζομένων L. — § 558 ἐπινοίᾳ καὶ τόλμῃ Hlw., ἐπίνοια καὶ τόλμη vlg. — § 558 διέφερεν Lugd. e corr., διέφθειρε vlg. — § 561 εὐθετιζόμενοι mg. M, συνθετιζόμενοι vlg. — § 561 τοὺς suppl. Cob. — § 562 ἀσελγείας — ἐπενόησαν LVRC Exc. Peiresc., ἀσελγείας ἀθεμίτους ἐπενόησαν ἔρωτας M, ἀσωτίας ἀσελγείας ἀθεμίτους ἐπενόησαν P, ἀσελγείας ἀθεμίτους ἐπενόησαν A, cf. Praef. Ns. p. XXXIII. — § 563 προφέροντες· προβάλλοντες LExc. Peiresc., προσφέροντες C. — § 563 βεβαμμένων LExc. Peiresc., περιβεβλημένων PAMVRC, *versicoloribus* Lat., *reconciliatis* vel *concialitis* (*conchyliatis* Weber) Heges., cf. Praef. Ns. p. XXXIV, LXI. — § 563 ἀπὸ τῶν· ὑπὸ τῶν Herw. — § 568 περιώσαντες C, περιεξώσαντες L, ἐξώσαντες rell. — § 569 ἣν κάκεῖ C, ἣν ἐκεῖ καί M, ἂν ἐκεῖ καί PALVR. — § 571 καταπρήσωσι MVRC, καταπιμπρῶσι PAL. — § 573 δεύτερον· χείρονα Zonar., *perniciosiorem* Heges., δεινότερον Dest. f. ἐξωλέστερον Nr. — § 574 πολλάκις L, πολλά rell. — § 577 εἰργόμενον LVRC, εἰργόμενοι PAM. — § 577 τάκ Bk., τά vlg. — § 580 βόρειον· βορείαν L. — § 582 ἀργεῖν Cob., ἀνέργειαν PA, ἐνέργειαν M, ἀνείργειν LVRC, ἀνεργεῖν Huds. ex Lugd. — § 583 λιθοβόλους· πετροβόλους L. — § 585 χαλεπά· χαλεπώτερα L. — § 587 ὥστε μή, *adeo ut* Lat. — § 590 προσευσχολεῖν· προσασχολεῖν M. — § 591 ἄν inser. Herw. — § 591 πανουργήσασαν· καλλιουργήσασαν L. — § 591 πλέοντα· πλέοντας P, πλέοντα καί Dest. — § 594 τὴν νῦν· τὸν νῦν καιρόν M. — § 594 δικαιοτέραν· δικαιότερον VRC, δίκαιον Dest. — § 594 αὐτούς· αὐτοί Herw. — § 595 καταγόντων· καταγόντων PAM. — § 596 οὐδ'· αὐτοί inser. Dest. — § 596 ἄπαιδα ed. pr. παῖδα codd. — § 596 ὑπεροχάς vlg., διαδοχάς Bk. — § 597 αὐτούς· αὐτοί Herw. — § 597 καθήσεσθαι PAML, καρπήσεσθαι VR, καρπίσεσθαι C. — § 598 αὐτοί τότε Lugd., αὐτούς PAM, αὐτοῖς L, αὐτοὺς τότε VRC. — § 598 ἔχοντες· ἔχοντας MC, ἔχοντα VR. — § 598 ἀλλὰ καὶ συνεργήσειν C, ἀλλὰ συνεργήσειν VR, συνεργήσειν δέ M, συνετηρήσαμεν PAL, αἷς συνετήρησαν Ns. — § 599 μέρος· ἔσεσθαι add. M, cf. Praef. Ns. p. XXXIII. — § 599 ἐπιβολήν L, ἐπιβουλήν rell. — § 600 συντετηρηκότων om. L, συγγεγηρακότων Dest., συνηρ-

γηκότων Herw. — § 602 *προήρητο* L, *προηρεῖτο* rell. — § 602 *ἰδιωτείαις* L, *ἰδιώταις* rell. — § 603 *οἱ· οἵ τε* Ns. — § 603 *ἀναιρεῖν· ἀναιρήσειν* Herw. — § 605 *ὡς· εἰς* LVRC, *ἐπί* Lugd. — § 605 *Βοώσης* om. PAM. — § 605 *ἄγειν* add. ed. princ. — § 606 *παρέλκοι* PAMLVR, *παρέλθοι* C, *παρείκοι* Cardwell Herw. — § 607 *ἔχειν· ἂν ἔχειν* Ns. — § 608 *ἔτι τήν* Huds., *ἐπὶ τὴν* codd., *τήν* Ns. ex Lat. — § 609 *αὐτῆς* Ns., *αὐτῇ* vlg. — § 612 *Ἀλεξανδρείας· ὁ Ἀλεξανδρείας* vel *Ἀλεξάνδρεια* Bk. — § 613 *ἔχουσα* PAM, *ἀνέχουσα* LVRC. — § 614 *ἀμφιρρηγνύμενον* Nr., *ἀφικνύμενον* P, *ἀφικνούμενον* AM, *ἀφιγνύμενον* LRC, *ἀφιγνυμένον* V, *ἐπιρηγνύμενον* vel *ἀφηγνυμένον* (?) Huds., *ἀπαγνύμενον* Cocc., *ἀμφαγνυμένον* (?) Df. — § 615 *μερίζεται* MVRC, *χωρίζεται* PAL. — § 616 *τὸ τῆς· τό τε τῆς* Dest. — § 617 *παραναγνούς· προσαναγνούς* VRC, *προαναγνούς* Lint. — § 618 *ἐπὶ τῆς· ἀπὸ τῆς* L. — § 618 *ὑπὲρ αὐτοῦ* suspect. Ns.; vide causam. — § 620 *παραγίγνεται* Lugd., *παρῆν* rell. — § 622 *τοῦ πλείστου· πλείστου* LVRC. — § 622 *περιάγοι* MVRC, *περιαγάγοι* PAM. — § 624 *περί* L, om. PAMVRC, *πρὸς* Herw. — § 624 *ἔκαμον*, *laborasset* Lat., *ἔκαμεν* ed. pr. — § 627 *πρός* L, *εἰς* rell. — § 629 *περί· ὑπὲρ* nisi delere mavis, Ns. — § 630 *χρή* om. PAC. — § 632 *πλεῖν* Huds., *πᾶν* codd. — § 636 *ἑκατοντάρχους· ἑκατοντάρχας* PC. — § 637 *ἄμεινον· εἶναι* add. L. — § 638 *προσκτήσασθαι* Df., *προσθήσεσθαι* PAMVRC, *προκτήσασθαι* L. — § 643 *διακόσιοι· διεφθάρησαν* add. M. — § 647 *τεθύμωτο· τεθυμωμένος* LLat. — § 649 *μὲν σύν* Bk., *δὲ σύν* codd. — § 649 *ἐμπιμπρᾶσι· ἐνέπρησαν* PAML. — § 651 *προέρχεται· προσέρχεται* C, *procedit* Lat., *rapitur* Heges., unde *προέλκεται* Dest. cf. Tac. Hist. III 84. — § 652 *ἄν* L, om. rell. — § 654 *τρίτη· τῇ ιή'*, Unger. Sitzungsber. kgl. Bair. Acad. philos. philol. Classe, 1893 II 4. — § 654 *διάγνωσιν* VRC, *διάκρισιν* PAML. — § 656 *τότε* acc. ex L. — § 658 *μέντοι γε* L, *μέντοι* rell. — § 658 *λήξαντος· λήξαντος δέ* PAM, *λήξαντός γε* Dest. — § 658 *κατὰ τάχος* Cob., *τάχος* vlg. — § 659 *μακρῶν· ἐπὶ μακρῶν* M. — § 660 *τινά·* om. PA. — § 661 *τῷ — ἱερῷ· τὸ — ἱερόν* PAL.

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

⟨1⟩ Ἐπειδὴ τὸν Ἰουδαίων πρὸς Ῥωμαίους πόλεμον 1
συστάντα μέγιστον οὐ μόνον τῶν καθ' ἡμᾶς, σχεδὸν
δὲ καὶ ὧν ἀκοῇ παρειλήφαμεν ἢ πόλεων πρὸς πόλεις
ἢ ἐθνῶν ἔθνεσι συρραγέντων, οἱ μὲν οὐ παρατυχόντες
τοῖς πράγμασιν, ἀλλ' ἀκοῇ συλλέγοντες εἰκαῖα καὶ
ἀσύμφωνα διηγήματα, σοφιστικῶς ἀναγράφουσιν, ⟨2⟩ οἱ
παραγενόμενοι δ' ἢ κολακείᾳ τῇ πρὸς Ῥωμαίους ἢ
μίσει τῷ πρὸς Ἰουδαίους καταψεύδονται τῶν πραγμά-
των, περιέχει δ' αὐτοῖς ὅπου μὲν κατηγορίαν ὅπου δ'
ἐγκώμιον τὰ συγγράμματα, rὸ δ' ἀκριβὲς τῆς ἱστορίας
οὐδαμοῦ, ⟨3⟩ προυθέμην ἐγὼ rοῖς κατὰ τὴν Ῥωμαίων
ἡγεμονίαν, Ἑλλάδι γλώσσῃ μεταβαλών, ἃ τοῖς ἄνω
βαρβάροις τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον,
ἀφηγήσασθαι, Ἰώσηπος Ματθίου παῖς, γένει Ἑβραῖος
ἐξ Ἱεροσολύμων, ἱερεύς, αὐτός τε Ῥωμαίους πολεμήσας
τὰ πρῶτα καὶ τοῖς ὕστερον παρατυχὼν ἐξ ἀνάγκης.
⟨4⟩ γενομένου γάρ, ὡς ἔφην, μεγίστου τοῦδε τοῦ 2
κινήματος, ἐν Ῥωμαίοις μὲν ἐνόσει τὰ οἰκεῖα, Ιουδαίων
δὲ rὸ νεωτερίζον τότε τεταραγμένοις ἐπανέστη τοῖς
καιροῖς, ἀκμάζον κατά τε χεῖρα καὶ χρήμασιν, ὡς δι'
ὑπερβολὴν θορύβων τοῖς μὲν ἐν ἐλπίδι κτήσεως τοῖς

δ' ἐν ἀφαιρέσεως δέει γίγνεσθαι τὰ πρὸς τὴν ἀνατολήν, ⟨5⟩ ἐπειδὴ Ἰουδαῖοι μὲν ἅπαν τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον συνεπαρθήσεσθαι σφίσιν ἤλπισαν, Ῥωμαίους δ' οἵ τε γείτονες Γαλάται παρεκίνουν καὶ τὸ Κελτικὸν οὐκ ἠρέμει, μεστὰ δ' ἦν πάντα θορύβων· μετὰ Νέρωνα, καὶ πολλοὺς μὲν βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε, τὰ στρατιωτικὰ δ' ἦρα μεταβολῆς ἐλπίδι λημμάτων· ⟨6⟩ ἄτοπον οὖν ἡγησάμην περιιδεῖν πλαζομένην ἐπὶ τηλικούτοις πράγμασι τὴν ἀλήθειαν, καὶ Πάρθους μὲν καὶ Βαβυλωνίους Ἀράβων τε τοὺς πορρωτάτω καὶ τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον ἡμῖν Ἀδιαβηνούς τε γνῶναι διὰ τῆς ἐμῆς ἐπιμελείας ἀκριβῶς ὅθεν τ' ἦρξατο καὶ δι' ὅσων ἐχώρησε παθῶν ὁ πόλεμος καὶ ὅπως κατέστρεψεν, ἀγνοεῖν δ' Ἕλληνας ταῦτα καὶ Ῥωμαίων τοὺς μὴ ἐπιστρατευσαμένους, ἐντυγχάνοντας ἢ κολακείαις ἢ πλάσμασι.

3 ⟨7⟩ καίτοι γ' ἱστορίας αὐτὰς ἐπιγράφειν τολμῶσιν, ἐν αἷς πρὸς τῷ μηδὲν ὑγιὲς δηλοῦν καὶ τοῦ σκοποῦ δοκοῦσιν ἔμοιγε διαμαρτάνειν. βούλονται γὰρ μεγάλους μὲν τοὺς Ῥωμαίους ἀποδεικνύειν, καταβάλλουσι δ' ἀεὶ τὰ Ἰουδαίων καὶ ταπεινοῦσιν· ⟨8⟩ οὐχ ὁρῶ δ' πῶς ἂν εἶναι μεγάλοι δοκοῖεν οἱ μικροὺς νενικηκότες καὶ οὔτε τὸ μῆκος αἰδοῦνται τοῦ πολέμου οὔτε τὸ πλῆθος τῆς καμούσης Ῥωμαίων στρατιᾶς οὔτε τὸ μέγεθος τῶν στρατηγῶν, οἳ πολλὰ περὶ τοῖς Ἱεροσολύμοις ἱδρώσαντες, οἶμαι, ταπεινουμένου τοῦ κατορθώματος αὐτοῖς ἀδοξοῦσιν.

4 ⟨9⟩ οὐ μὴν ἐγὼ τοῖς ἐπαίρουσι τὰ Ῥωμαίων ἀντιφιλονικῶν αὔξειν τὰ τῶν ὁμοφύλων διέγνων, ἀλλὰ τὰ μὲν ἔργα μετ' ἀκριβείας ἑκατέρων διέξειμι, τοὺς δ' ἐπὶ τοῖς πράγμασι λόγους ἀνατίθημι τῇ διαθέσει,

τοῖς ἐμαυτοῦ πάθεσι διδοὺς ἐπολοφύρεσθαι ταῖς πατρίδος συμφοραῖς. ⟨10⟩ ὅτι γὰρ αὐτὴν στάσις εἰα καθεῖλε, καὶ τὰς Ῥωμαίων χεῖρας ἀκούσας καὶ πῦρ ἐπὶ τὸν ἅγιον ναὸν εἵλκυσαν οἱ Ἰουδαίων ραννοι, μάρτυς αὐτὸς ὁ πορθήσας Τίτος Καῖσαρ, ἐν ντὶ τῷ πολέμῳ τὸν μὲν δῆμον ἐλεήσας ὑπὸ τῶν σιαστῶν φρουρούμενον, πολλάκις δ' ἑκὼν τὴν σιν τῆς πόλεως ὑπερτιθέμενος, καὶ διδοὺς τῇ μιορκίᾳ χρόνον εἰς μετάνοιαν τῶν αἰτίων. ⟨11⟩ εἴ τις ὅσα πρὸς τοὺς τυράννους ἢ τὸ ληστρικὸν αὐτῶν ηγορικῶς λέγομεν, τοῖς δυστυχήμασι τῆς πατρίδος στένοντες, συκοφαντοίη, διδότω παρὰ τὸν τῆς ἱστο- ς νόμον συγγνώμην τῷ πάθει· πόλιν γὰρ δὴ τῶν Ῥωμαίοις πασῶν τὴν ἡμετέραν ἐπὶ πλεῖστόν τ' δαιμονίας συνέβη προελθεῖν καὶ πρὸς ἔσχατον συμ- φῶν αὖθις καταπεσεῖν. ⟨12⟩ τὰ γοῦν πάντων ἀπ' ινος ἀτυχήματα πρὸς τὰ Ἰουδαίων ἡττᾶσθαί μοι κατὰ σύγκρισιν, καὶ τούτων αἴτιος οὐδεὶς ἀλλό- λος, ὥστ' ἀμήχανον ἦν ὀδυρμῶν ἐπικρατεῖν. εἴ τις οἴκτου σκληρότερος εἴη δικαστής, τὰ μὲν πράγ- τα τῇ ἱστορίᾳ προσκρινέτω, τὰς δ' ὀλοφύρσεις τῷ φαντι.

⟨13⟩ καίτοι γ' ἐπιτιμήσαιμ' ἄν αὐτὸς δικαίως τοῖς δ λφῶν λογίοις, οἳ τηλικούτων κατ' αὐτοὺς πραγμά- ν γεγενημένων, ἃ κατὰ σύγκρισιν ἐλαχίστους ἀπο- νοσι τοὺς πάλαι πολέμους, τούτων μὲν κάθηνται καὶ τοῖς φιλοτιμουμένοις ἐπηρεάζοντες, ὧν εἰ καὶ λόγῳ πλεονεκτοῦσι, λείπονται τῇ προαιρέσει· αὐτοὶ τὰ Ἀσσυρίων καὶ τὰ Μήδων συγγράφουσιν ὥσπερ καλῶς ὑπὸ τῶν ἀρχαίων συγγραφέων ἀπηγγελ- ⟨14⟩ καίτοι τοσοῦτον τῆς ἐκείνων ἡττῶνται

δυνάμεως ἐν τῷ γράφειν ὅσον καὶ τῆς γνώμης. τὰ γὰρ καθ' αὑτοὺς ἑσπούδαζον ἕκαστοι γράφειν, ὅπου καὶ τὸ παρατυχεῖν τοῖς πράγμασιν ἐποίει τὴν ἀπαγγελίαν ἐναργῆ καὶ τὸ ψεύδεσθαι παρ' εἰδόσιν αἰσχρὸν ἦν. ⟨15⟩ τό γε μὴν μνήμῃ τὰ μὴ προϊστορηθέντα διδόναι καὶ τὰ κατὰ τὸν ἴδιον χρόνον τοῖς μεθ' ἑαυτὸν συνιστάνειν ἐπαίνου καὶ μαρτυρίας ἄξιον· φιλόπονος δ' οὐχ ὁ μεταποιῶν οἰκονομίαν καὶ τάξιν ἀλλοτρίαν, ἀλλ' ὁ μετὰ τοῦ καινὰ λέγειν καὶ τὸ σῶμα τῆς ἱστορίας κατασκευάζων ἴδιον. ⟨16⟩ κἀγὼ μὲν ἀναλώμασι καὶ πόνοις μεγίστοις ἀλλόφυλος ὢν Ἕλλησί τε καὶ Ῥωμαίοις τὴν μνήμην τῶν κατορθωμάτων ἀνατίθημι· τοῖς δὲ γνησίοις πρὸς μὲν τὰ λήμματα καὶ τὰς δίκας κέχηνεν εὐθέως τὸ στόμα καὶ ἡ γλῶσσα λέλυται, πρὸς δὲ τὴν ἱστορίαν, ἔνθα χρὴ τἀληθῆ λέγειν καὶ μετὰ πολλοῦ πόνου τὰ πράγματα συλλέγειν, πεφίμωνται, παρέντες τοῖς ἀσθενεστέροις καὶ μηδὲ γινώσκουσι τὰς πράξεις τῶν ἡγεμόνων γράφειν. τιμάσθω δὴ παρ' ἡμῖν τὸ τῆς ἱστορίας ἀληθές, ἐπεὶ παρ' Ἕλλησιν ἀμέλειται.

6 ⟨17⟩ ἀρχαιολογεῖν μὲν δὴ τὰ Ἰουδαίων, τίνες τ' ὄντες καὶ ὅπως ἀπανέστησαν Αἰγυπτίων, χώραν θ' ὅσην ἐπῆλθον ἁλώμενοι καὶ πόσα ἑξῆς κατέλαβον καὶ πῶς μετανέστησαν, νῦν ἄκαιρον ᾠήθην εἶναι καὶ ἄλλως περιττόν, ἐπειδὴ καὶ Ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ τὰ τῶν προγόνων συνετάξαντο μετ' ἀκριβείας, καί τινες Ἑλλήνων ἐκεῖνα τῇ πατρίῳ φωνῇ μεταβαλόντες οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. ⟨18⟩ ὅπου δ' οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο καὶ οἱ ἡμέτεροι προφῆται, τὴν ἀρχὴν ἐκεῖθεν ποιήσομαι τῆς συντάξεως. —ίκων δὲ τὰ μὲν τοῦ κατ' ἐμαυτὸν πολέμου διεξο-

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ὡς ἤδη καμνόντων Ἰουδαίοις τῶν πραγμάτων θνήσκει μὲν Νέρων, Οὐεσπασιανὸς δ' ἐπὶ Ἱεροσολύμων ὡρμημένος ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ Ῥώμης μεταβολάς, ⟨24⟩ καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται, καὶ ὡς τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον ἐστασιάσθη τὰ τῶν Ἰουδαίων, ὅπως τ' ἐπανέστησαν αὐτοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς, ⟨25⟩ καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν, ὅπως τε τὰς δυνάμεις καὶ ὅπου καὶ ὁπόσας συνήγαγε, καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς θ' ὅσας ἐποιήσατο καὶ ὁπόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν διάθεσιν, ⟨26⟩ ἔτι δὲ καὶ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ' ἀκριβείας, ἔθη θ' ἑορτῶν ἔνια καὶ τὰς ἑπτὰ ἁγνείας καὶ τὰς τῶν ἱερέων λειτουργίας, ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτ' ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμένοις. ⟨27⟩ ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς δμοφύλους ὠμότητα καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους, καὶ ὁσάκις Τίτος σῶσαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπιθυμῶν ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προυκαλέσατο. διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμφοράς, ὅσα θ' ὑπὸ τοῦ πολέμου καὶ ὅσα ὑπὸ τῆς στάσεως καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἐάλωσαν. ⟨28⟩ παραλείψω δ' οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις, ὅπως θ' ὁ ναὸς

ἄκοντος ἐνεπρήσθη Καίσαρος, καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πόλεως ἅλωσιν, καὶ τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα, καὶ τὴν αἰχμαλωσίαν τῶν τυράννων, τῶν τ' ἀνδραποδισθέντων τὸ πλῆθος, καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν, ⟨29⟩ καὶ ὡς Ῥωμαῖοι μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ πολέμου καὶ τὰ ἐρύματα τῶν χωρίων καθεῖλον, Τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατεστήσατο, τήν θ' ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰταλίαν καὶ τὸν θρίαμβον.

⟨30⟩ ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις, καὶ 12
μηδεμίαν τοῖς ἐπισταμένοις τὰ πράγματα καὶ παρατυγοῦσι τῷ πολέμῳ καταλιπὼν ἢ μέμψεως ἀφορμὴν ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονὴν ἀφορῶσιν ἀνέγραψα. ποιήσομαι δὲ ταύτην τῆς ἐξηγήσεως ἀρχὴν ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

⟨31⟩ στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης 1
καθ' ὃν καιρὸν Ἀντίοχος ὁ κληθεὶς Ἐπιφανὴς διεφέρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν ἔκτον (ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι), Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας ἐξέβαλε τῆς πόλεως τοὺς Τωβία υἱούς, ⟨32⟩ οἳ δὲ καταφυγόντες πρὸς Ἀντίοχον ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. πείθεται δ' ὁ βασιλεὺς ὡρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμήσας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος καὶ πολύ τι πλῆθος τῶν Πτολεμαίῳ προσεχόντων ἀνεῖλε, ταῖς θ' ἁρπαγαῖς ἐπιβὰν ἐκφρεὶς τοὺς στρατιώτας αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν

ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία καὶ μῆνας ἕξ. ⟨33⟩ ὁ δ' ἀρχιερεὺς Ὀνίας πρὸς Πτολεμαῖον διαφυγών, καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιοπολίτῃ νομῷ, πολίχνην τε τοῖς Ἱεροσολύμοις ἀπεικασμένην καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ ὧν αὖθις κατὰ χώραν δηλώσομεν.

2 ⟨34⟩ Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς πόλεως οὔθ' αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν, ὑπὸ δ' ἀκρασίας παθῶν, καὶ κατὰ μνήμην ὧν παρὰ τὴν πολιορκίαν ἔπαθεν, ἠνάγκαζεν Ἰουδαίους, καταλύσαντας τὰ πάτρια, βρέφη τε τὰ αὑτῶν φυλάττειν ἀπερίτμητα καὶ σῦς ἐπιθύειν τῷ βωμῷ· ⟨35⟩ πρὸς ἃ πάντες μὲν ἠπείθουν, ἐσφάττοντο δ' οἱ δοκιμώτατοι. καὶ Βακχίδης ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρούραρχος, τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγγέλματα, παρανομίας οὐδεμίαν ἀπέλιπεν ὑπερβολήν, καὶ κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύμενος ὄψιν ἁλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε.

3 ⟨36⟩ Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου, τῶν ἱερέων εἷς, ἀπὸ κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας (πέντε γὰρ υἱεῖς ἦσαν αὐτῷ) κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην· καὶ παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει, ⟨37⟩ προσγενομένων δ' ἀπὸ τοῦ δήμου πολλῶν ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ νικᾷ τε τοὺς Ἀντιόχου στρατηγοὺς καὶ τῆς Ἰουδαίας ἐξελαύνει. παρελθὼν δ' ἀπὸ τῆς σύμπραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἑκόντων, τελευτᾷ Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν.

〈38〉 ὁ δ' (οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμ- 4
βανε) τάς τ' ἐπιχωρίους συγκροτεῖ δυνάμεις, καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν ἐμβαλόντα μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. 〈39〉 ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν (οὔπω γὰρ ἐπεκράτητο), καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω (τοῦτο δὲ τοῦ ἄστεος τὸ μέρος Ἄκρα κέκληται), κυριεύσας δὲ τοῦ ἱεροῦ τόν τε χῶρον ἐκάθηρε πάντα καὶ περιετείχισε, κἄπειτα πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσήνεγκεν ὡς τῶν προτέρων μεμιαμμένων, βωμόν τ' ἀνῳκοδόμησεν ἕτερον καὶ τῶν ἐναγισμῶν ἦρξατο. 〈40〉 λαμβανούσης δ' ἄρτι τὸ ἱερὸν κατάστημα τῆς πόλεως, τελευτᾷ μὲν Ἀντίοχος, κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας ὁ υἱὸς Ἀντίοχος γίγνεται.

〈41〉 συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς 5
δ' εἰς πεντακισχιλίους, ἐλέφαντας δ' ὀγδοήκοντα, ἐμ-
βάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὰν μὲν οὖν πολίχνην αἱρεῖ, κατὰ δὲ τόπον ὃς καλεῖται Βεθζαχαρίας, στενῆς οὔσης τῆς παρόδου, Ἰούδας ὑπαντᾷ μετὰ τῆς δυνάμεως. 〈42〉 πρὶν δὲ συνάψαι τὰς φά-
λαγγας, Ἐλεάζαρος ἀδελφὸς αὐτοῦ προϊδὼν τὸν ὑψηλό-
τατον τῶν ἐλεφάντων πύργῳ τε μεγάλῳ καὶ περι-
χρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τ' ἰδίων προεκτρέχει πολὺ καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. 〈43〉 ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τ' ἦν διὰ τὸ ὕψος· ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας ἐπικατέσεισεν

ἑαυτῷ καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δράσας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. ⟨44⟩ ὃ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν εἰ συνέβη δ' εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ἂν ὁ τολμήσας τοῦ δοκεῖν ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώματος ἑλέσθαι τὸν θάνατον. ⟨45⟩ γίγνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως· καρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πληθει δ' ὑπερέχοντες οἱ βασιλικοὶ καὶ δεξιᾷ χρησάμενοι τύχῃ κρατοῦσι. καὶ πολλῶν ἀναιρεθέντων τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνιτικὴν τοπαρχίαν φεύγει. ⟨46⟩ Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱεροσόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσαν εἰς τὴν Συρίαν.

6 ⟨47⟩ πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ ἠρέμει, προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην Ἀδασὰν συμβάλλει τοῖς Ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην πολλούς τε τῶν πολεμίων ἀποκτείνας ἀναιρεῖται. καὶ μεθ' ἡμέρας ὀλίγας ἀδελφὸς αὐτοῦ Ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

2 ⟨48⟩ διαδεξάμενος δὲ τοῦτον ἀδελφὸς Ἰωνάθης τά τ' ἄλλα πρὸς τοὺς ἐπιχωρίους διὰ φυλακῆς ἦγεν ἑαυτόν, καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο, πρός τε τὸν Ἀντιόχου παῖδα διαλλαγὰς ἐποιήσατο. οὐ μὴν τι τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν· ⟨49⟩ Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ

Ἀντιόχου παιδός, ἐπιβουλεύων δ' αὐτῷ καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἥκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει, καὶ δήσας ἐπὶ Ἰουδαίαν στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἦτταν ὠργισμένος κτείνει τὸν Ἰωνάθην.

〈50〉 *Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγ-* 2
μάτων αἱρεῖ μὲν Γάζαρά τε καὶ Ἰόπην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν Ἄκραν τῶν φρουρῶν κρατήσας. αὖθις δὲ γίγνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. 〈51〉 *ἀλλ' οὐκ ἐξεδυσώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν, συνεξελὼν Τρύφωνα· μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δῃώσοντα τὴν Ἰουδαίαν ἔπεμψε καὶ καταδουλωσόμενον Σίμωνα.* 〈52〉 *ὃ δέ, καίτοι γηραιὸς ὤν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γ' υἱεῖς ἐπ' αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν ἐπῄει κατ' ἄλλο μέρος.* 〈53〉 *πολλοὺς δὲ πολλαχοῦ κἀν τοῖς ὄρεσι προλοχίσας πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς. καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν Μακεδόνων ἐπικρατείας μεθ' ἑκατὸν καὶ ἑβδομήκοντ ἔτη τοὺς Ἰουδαίους ἀπαλλάττει.*

〈54〉 *θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμ-* 3
ποσίῳ ὑπὸ Πτολεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τήν τε γυναῖκα καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Ὑρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρή-

§ 50 = Ant. Iud. XIII 215. § 54 = Ant. Iud. XIII 228.

δυνάμεως ἐν τῷ γράφειν ὅσον καὶ τῆς γνώμης. τὰ γὰρ καθ' αὑτοὺς ἑσπούδαζον ἕκαστοι γράφειν, ὅπου καὶ τὸ παρατυχεῖν τοῖς πράγμασιν ἐποίει τὴν ἀπαγγελίαν ἐναργῆ καὶ τὸ ψεύδεσθαι παρ' εἰδόσιν αἰσχρὸν ἦν. ⟨15⟩ τό γε μὴν μνήμῃ τὰ μὴ προϊστορηθέντα διδόναι καὶ τὰ κατὰ τὸν ἴδιον χρόνον τοῖς μεθ' ἑαυτὸν συνιστάνειν ἐπαίνου καὶ μαρτυρίας ἄξιον· φιλόπονος δ' οὐχ ὁ μεταποιῶν οἰκονομίαν καὶ τάξιν ἀλλοτρίαν, ἀλλ' ὁ μετὰ τοῦ καινὰ λέγειν καὶ τὸ σῶμα τῆς ἱστορίας κατασκευάζων ἴδιον. ⟨16⟩ κἀγὼ μὲν ἀναλώμασι καὶ πόνοις μεγίστοις ἀλλόφυλος ὢν Ἕλλησί τε καὶ Ῥωμαίοις τὴν μνήμην τῶν κατορθωμάτων ἀνατίθημι· τοῖς δὲ γνησίοις πρὸς μὲν τὰ λήμματα καὶ τὰς δίκας κέχηνεν εὐθέως τὸ στόμα καὶ ἡ γλῶσσα λέλυται, πρὸς δὲ τὴν ἱστορίαν, ἔνθα χρὴ τἀληθῆ λέγειν καὶ μετὰ πολλοῦ πόνου τὰ πράγματα συλλέγειν, πεφίμωνται, παρέντες τοῖς ἀσθενεστέροις καὶ μηδὲ γινώσκουσι τὰς πράξεις τῶν ἡγεμόνων γράφειν. τιμάσθω δὴ παρ' ἡμῖν τὸ τῆς ἱστορίας ἀληθές, ἐπεὶ παρ' Ἕλλησιν ἀμέλειται.

6 ⟨17⟩ ἀρχαιολογεῖν μὲν δὴ τὰ Ἰουδαίων, τίνες τ' ὄντες καὶ ὅπως ἀπανέστησαν Αἰγυπτίων, χώραν θ' ὅσην ἐπῆλθον ἁλώμενοι καὶ πόσα ἑξῆς κατέλαβον καὶ πῶς μετανέστησαν, νῦν ἄκαιρον ᾠήθην εἶναι καὶ ἄλλως περιττόν, ἐπειδὴ καὶ Ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ τὰ τῶν προγόνων συνετάξαντο μετ' ἀκριβείας, καί τινες Ἑλλήνων ἐκεῖνα τῇ πατρίῳ φωνῇ μεταβαλόντες οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. ⟨18⟩ ὅπου δ' οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο καὶ οἱ ἡμέτεροι προφῆται, τὴν ἀρχὴν ἐκεῖθεν ποιήσομαι τῆς συντάξεως. τούτων δὲ τὰ μὲν τοῦ κατ' ἐμαυτὸν πολέμου διεξο-

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ὡς ἤδη καμνόντων Ἰουδαίοις τῶν πραγμάτων θνήσκει μὲν Νέρων, Οὐεσπασιανὸς δ' ἐπὶ Ἱεροσολύμων ὁρμημένος ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ Ῥώμης μεταβολάς, ⟨24⟩ καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται, καὶ ὡς τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον ἐστασιάσθη τὰ τῶν Ἰουδαίων, ὅπως τ' ἐπανέστησαν αὐτοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς, ⟨25⟩ καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν, ὅπως τε τὰς δυνάμεις καὶ ὅπου καὶ ὁπόσας συνήγαγε, καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς θ' ὅσας ἐποιήσατο καὶ ὁπόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν διάθεσιν, ⟨26⟩ ἔτι δὲ καὶ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ' ἀκριβείας, ἔθη θ' ἑορτῶν ἔνια καὶ τὰς ἑπτὰ ἁγνείας καὶ τὰς τῶν ἱερέων λειτουργίας, ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτ' ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμένοις. ⟨27⟩ ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς ὁμοφύλους ὠμότητα καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους, καὶ ὁσάκις Τίτος σῶσαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπιθυμῶν ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προυκαλέσατο. διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμφοράς, ὅσα θ' ὑπὸ τοῦ πολέμου καὶ ὅσα ὑπὸ τῆς στάσεως καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἐάλωσαν. ⟨28⟩ παραλείψω δ' οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις, ὅπως θ' ὁ ναὸς

ἄκοντος ἐνεπρήσθη Καίσαρος, καὶ ὅσα τῶν ἱερῶν
κειμηλίων ἐκ τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πό-
λεως ἅλωσιν, καὶ τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα,
καὶ τὴν αἰχμαλωσίαν τῶν τυράννων, τῶν τ' ἀνδρα-
ε ποδισθέντων τὸ πλῆθος, καὶ εἰς ἣν ἕκαστοι τύχην
διενεμήθησαν, ⟨29⟩ καὶ ὡς Ῥωμαῖοι μὲν ἐπεξῆλθον
τὰ λείψανα τοῦ πολέμου καὶ τὰ ἐρύματα τῶν χωρίων
καθεῖλον, Τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατε-
στήσατο, τήν θ' ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰταλίαν
ιο καὶ τὸν θρίαμβον.

⟨30⟩ ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις, καὶ 12
μηδεμίαν τοῖς ἐπισταμένοις τὰ πράγματα καὶ παρα-
τυχοῦσι τῷ πολέμῳ καταλιπὼν ἢ μέμψεως ἀφορμὴν
ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ
κ μὴ πρὸς ἡδονὴν ἀφορῶσιν ἀνέγραψα. ποιήσομαι δὲ
ταύτην τῆς ἐξηγήσεως ἀρχὴν ἣν καὶ τῶν κεφαλαίων
ἐποιησάμην.

⟨31⟩ στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης 1
καθ' ὃν καιρὸν Ἀντίοχος ὁ κληθεὶς Ἐπιφανὴς διεφέ-
κα ρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν ἕκτον
(ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου
τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι),
Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας ἐξέβαλε τῆς
πόλεως τοὺς Τωβία υἱούς, ⟨32⟩ οἳ δὲ καταφυγόντες
κβ πρὸς Ἀντίοχον ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς
τὴν Ἰουδαίαν ἐμβαλεῖν. πείθεται δ' ὁ βασιλεὺς ὡρμη-
μένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμή-
κγ σας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος καὶ πολύ τι πλῆθος
τῶν Πτολεμαίῳ προσεχόντων ἀνεῖλε, ταῖς θ' ἁρπαγαῖς
κδ ἐπέβην ἐπαφεὶς τοὺς στρατιώτας αὐτὸς καὶ τὸν ναὸν
ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν

ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία καὶ μῆνας ἕξ. ⟨33⟩ ὁ δ' ἀρχιερεὺς Ὀνίας πρὸς Πτολεμαῖον διαφυγών, καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιοπολίτῃ νομῷ, πολίχνην τε τοῖς Ἱεροσολύμοις ἀπεικασμένην καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ ὧν αὖθις κατὰ χώραν δηλώσομεν.

2 ⟨34⟩ Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς πόλεως οὔθ' αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν, ὑπὸ δ' ἀκρασίας παθῶν, καὶ κατὰ μνήμην ὧν παρὰ τὴν πολιορκίαν ἔπαθεν, ἠνάγκαζεν Ἰουδαίους, καταλύσαντας τὰ πάτρια, βρέφη τε τὰ αὑτῶν φυλάττειν ἀπερίτμητα καὶ σῦς ἐπιθύειν τῷ βωμῷ· ⟨35⟩ πρὸς ἃ πάντες μὲν ἠπείθουν, ἐσφάττοντο δ' οἱ δοκιμώτατοι. καὶ Βακχίδης ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρούραρχος, τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγγέλματα, παρανομίας οὐδεμίαν ἀπέλιπεν ὑπερβολήν, καὶ κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύμενος ὄψιν ἀλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε.

3 ⟨36⟩ Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου, τῶν ἱερέων εἷς, ἀπὸ κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας (πέντε γὰρ υἱεῖς ἦσαν αὐτῷ) κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην· καὶ παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει, ⟨37⟩ προσγενομένων δ' ἀπὸ τοῦ δήμου πολλῶν ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ νικᾷ τε τοὺς Ἀντιόχου στρατηγοὺς καὶ τῆς Ἰουδαίας ἐξελαύνει. παρελθὼν δ' ἀπὸ τῆς σφραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἐκόντων, τελευτᾷ Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν.

〈38〉 ὃ δ' (οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμ- 4
βανε) τάς τ' ἐπιχωρίους συγκροτεῖ δυνάμεις, καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν ἐμβαλόντα μετὰ καρτερᾶς πληγῆς
5 ἀνέστειλεν. 〈39〉 ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν (οὔπω γὰρ ἐκπέκοπτο), καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω (τοῦτο δὲ τοῦ ἄστεος τὸ μέρος Ἄκρα κέκληται), κυριεύσας δὲ τοῦ ἱεροῦ τόν
10 τε χῶρον ἐκάθηρε πάντα καὶ περιετείχισε, κἄτα πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσήνεγκεν ὡς τῶν προτέρων μεμιαμμένων, βωμόν τ' ὠκοδόμησεν ἕτερον καὶ τῶν ἐναγισμῶν ἤρξατο. 〈40〉 λαμβανούσης δ' ἄρτι τὸ ἱερὸν κατάστημα τῆς
15 πόλεως, τελευτᾷ μὲν Ἀντίοχος, κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας ὁ υἱὸς Ἀντίοχος γίγνεται.

〈41〉 συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς 5
δ' εἰς πεντακισχιλίους, ἐλέφαντας δ' ὀγδοήκοντα, ἐμβάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὰν μὲν οὖν πολίχνην αἱρεῖ, κατὰ δὲ τόπον ὃς καλεῖται Βεθζαχαρίας, στενῆς οὔσης τῆς παρόδου, Ἰούδας ὑπαντᾷ μετὰ τῆς δυνάμεως. 〈42〉 πρὶν δὲ συνάψαι τὰς φάλαγγας, Ἐλεάζαρος ἀδελφὸς αὐτοῦ προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων πύργῳ τε μεγάλῳ καὶ περιχρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τ' ἰδίων προεκτρέχει πολὺ καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. 〈43〉 ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τ' ἦν διὰ τὸ ὕψος· ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας ἐπικατέσεισεν

ἑαυτῷ καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δράσας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. ⟨44⟩ ὅ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν εἰ συνέβη δ' εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ἂν ὁ τολμήσας τοῦ δοκεῖν ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώματος ἑλέσθαι τὸν θάνατον. ⟨45⟩ γίγνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως· καρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πλήθει δ' ὑπερέχοντες οἱ βασιλικοὶ καὶ δεξιᾷ χρησάμενοι τύχῃ κρατοῦσι. καὶ πολλῶν ἀναιρεθέντων τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνιτικὴν τοπαρχίαν φεύγει. ⟨46⟩ Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱεροσόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσαν εἰς τὴν Συρίαν.

6 ⟨47⟩ πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ ἠρέμει, προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην Ἀδασὰν συμβάλλει τοῖς Ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην πολλούς τε τῶν πολεμίων ἀποκτείνας ἀναιρεῖται. καὶ μεθ' ἡμέρας ὀλίγας ἀδελφὸς αὐτοῦ Ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

2 ⟨48⟩ διαδεξάμενος δὲ τοῦτον ἀδελφὸς Ἰωνάθης τά τ' ἄλλα πρὸς τοὺς ἐπιχωρίους διὰ φυλακῆς ἦγεν ἑαυτόν, καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο, πρός τε τὸν Ἀντιόχου παῖδα διαλλαγὰς ἐποιήσατο. οὐ μήν τι τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν· ⟨49⟩ Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ

Ἀντιόχου παιδός, ἐπιβουλεύων δ' αὐτῷ καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἥκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει, καὶ δήσας ἐπὶ Ἰουδαίαν στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἦτταν ὠργισμένος κτείνει τὸν Ἰωνάθην.

〈50〉 *Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγ-* 2
μάτων αἱρεῖ μὲν Γάζαρά τε καὶ Ἰόπην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν Ἄκραν τῶν φρουρῶν κρατήσας. αὖθις δὲ γίγνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. 〈51〉 *ἀλλ' οὐκ ἐξεδυσ-*
ώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν, συνεξελὼν Τρύ- 3
φωνα· μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δῃώσοντα τὴν Ἰουδαίαν ἔπεμψε καὶ καταδουλωσόμενον Σίμωνα. 〈52〉 *ὃ δέ, καίτοι γηραιὸς ὤν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γ' υἱεῖς ἐπ' αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν ἐπῄει κατ' ἄλλο μέρος.* 〈53〉 *πολ-*
λοὺς δὲ πολλαχοῦ κἀν τοῖς ὄρεσι προλοχίσας πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς. καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν Μακεδόνων ἐπικρατείας μεθ' ἑκατὸν καὶ ἑβδομήκοντ ἔτη τοὺς Ἰουδαίους ἀπαλλάττει.

〈54〉 *θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμ-* 3
πότῳ ὑπὸ Πτολεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τὴν γυναῖκα καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Ὑρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρή-

§ 50 = Ant. Iud. XIII 215. § 54 = Ant. Iud. XIII 228.

σοντας ἔπεμψε. ⟨55⟩ προγνοὺς δὲ τὴν ἔφοδον ὁ νεανίσκος παραγενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς κατά τε μνήμην τῶν πατρῴων κατορθωμάτων καὶ μῖσος τῆς Πτολεμαίου παρανομίας. ὥρμησε δὲ καὶ Πτολεμαῖος εἰσελθεῖν καθ' ἑτέραν πύλην, ἐξεκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως, δεδεγμένων ἤδη τὸν Ὑρκανόν. ⟨56⟩ καὶ ὁ μὲν παραχρῆμα ἀνεχώρησεν εἴς τι τῶν ὑπὲρ Ἰεριχοῦντος ἐρυμάτων, ὃ Δαγὼν καλεῖται· κομισάμενος δὲ τὴν πατρῴαν ἀρχιερωσύνην Ὑρκανός, καὶ θύσας τῷ θεῷ, μετὰ τάχους ἐπὶ Πτολεμαΐδα ὥρμησε, τιμωρήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.

4 ⟨57⟩ προσβαλὼν δὲ τῷ φρουρίῳ τὰ μὲν ἄλλα κρείττων ἦν, ἡττᾶτο δὲ δικαίου πάθους. ὁ γὰρ Πτολεμαῖος ὁπότε καταπονοῖτο, τήν τε μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προαγαγὼν ἐπὶ τοῦ τείχους εἰς εὐσύνοπτον ἠκίζετο, καὶ καταχρημνιεῖν, εἰ μὴ θᾶττον ἀπαναστείη, διηπείλει. ⟨58⟩ πρὸς ἃ τὸν μὲν Ὑρκανὸν ὀργῆς πλείων οἶκτος εἰσῄει καὶ δέος, ἡ δὲ μήτηρ οὐδὲν οὔτε πρὸς τὰς αἰκίας οὔτε πρὸς τὸν ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα χεῖρας ὤρεγε, καὶ κατηντιβόλει τὸν παῖδα μήτι πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα φείσασθαι τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρείττονα τὸν ἐκ Πτολεμαίου θάνατον ἀθανασίας εἶναι, διδόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν παρενόμησεν. ⟨59⟩ ὁ δὲ Ἰωάννης ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς μητρὸς καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβαλεῖν, ἐπεὶ δ' αὖ κατίδοι τυπτομένην τε καὶ σπαραττομένην, ἐθηλύνετο καὶ τοῦ πάθους ἥσσων ἦν. ⟨60⟩ τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας

§ 59 = Ant. Iud. XIII 233.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἑτοίμως ὑπακούσας ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἡττᾶται. καὶ ὃ μὲν μέχρι Σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν ἐκφεύγει, οἱ δ' ἐπὶ τοὺς Σαμαρείτας ὑποστρέψαντες τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος συγκλείουσι, καὶ τὴν πόλιν ἑλόντες αὐτήν τε κατασκάπτουσι καὶ τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσαντο. ⟨66⟩ προχωρούντων δὲ τῶν κατορθωμάτων τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ δυνάμει μέχρι τῆς Σκυθοπόλεως ταύτην τε κατέδραμον, καὶ τὴν ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.

8 ⟨67⟩ πρὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου καὶ τῶν παίδων φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ' αὐτῶν συνελθόντες οὐκ ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκριπισθέντες ἡττῶνται. ⟨68⟩ τὸ λοιπὸν δ' ἐπιβιοὺς ἐν εὐδαιμονίᾳ Ἰωάννης, καὶ τὰ κατὰ τὴν ἀρχὴν κάλλιστα διοικήσας ἐν τρισὶ καὶ τριάκοντα ὅλοις ἔτεσιν, ἐπὶ πέντε υἱέσι τελευτᾷ, μακαριστὸς ὄντως καὶ κατὰ μηδὲν ἐάσας ἐφ' ἑαυτῷ μεμφθῆναι τὴν τύχην. τρία γοῦν τὰ κρατιστεύοντα μόνος εἶχε, τήν τ' ἀρχὴν τοῦ ἔθνους καὶ τὴν ἀρχιερωσύνην καὶ (τὴν) προφητείαν· ⟨69⟩ ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον ὡς μηδὲν τῶν μελλόντων ἀγνοεῖν, ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτέρων υἱῶν, ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων, προεῖδέ τε καὶ προυφήτευσεν· ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρ' ὅσον τῆς πατρῴας εὐδαιμονίας ἀπέχλιναν.

3 ⟨70⟩ μετὰ γὰρ τὴν τοῦ πατρὸς τελευτὴν ὁ πρεσβύτερος αὐτῶν Ἀριστόβουλος, τὴν ἀρχὴν εἰς βασιλείαν μεταθείς, περιτίθεται μὲν διάδημα πρῶτος μετὰ τετρα-

§ 66 = Ant. Iud. XIII 276. § 69 = Ant. Iud. XIII 300.

κοσιοστὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μῆνας τρεῖς, ἐξ οὗ κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι δουλείας· ⟨71⟩ τῶν δ' ἀδελφῶν τὸν μὲν μεθ' ἑαυτὸν Ἀντίγονον (ἐδόκει γὰρ ἀγαπᾶν) ἦγεν ἰσοτίμως, τοὺς δ' ἄλλους εἴργνυσι δήσας. δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας (ταύτην γὰρ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολελοίπει), καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν ὥστε καὶ λιμῷ διαφθεῖραι δεδεμένην.

⟨72⟩ περιέρχεται δ' αὐτῶν ἡ τίσις εἰς τὸν ἀδελ- 2
φὸν Ἀντίγονον, ὃν ἠγάπα τε καὶ τῆς βασιλείας κοινωνὸν εἶχε· κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. τὰ μὲν οὖν πρῶτα διηπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος, ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγαπῶν καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων· ⟨73⟩ ὡς δ' ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ στρατείας ἦλθεν εἰς τὴν ἑορτὴν ἐν ᾗ σκηνοποιεῖσθαι πάτριον τῷ θεῷ, συνέβη μὲν κατ' ἐκείνας τὰς ἡμέρας νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον, τὸν δ' Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν, ὡς ἐνῆν κάλλιστα κεκοσμημένον, προσκυνῆσαι τὸ πλέον ὑπὲρ τἀδελφοῦ. ⟨74⟩ κἂν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν καὶ τὸ παράστημα τὸ Ἀντιγόνου μεῖζον ἢ κατ' ἰδιώτην, ὅτι τε παρείη μετὰ μεγίστου συντάγματος ἀναιρήσων αὐτόν· οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχειν, παρὸν αὐτὴν κατασχεῖν. ⟨75⟩ τούτοις κατὰ μικρὸν ἄκων 3
ἐπίστευσεν Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ' ὑποπτεύων φανερὸς γενέσθαι καὶ προησφαλίσθαι πρὸς

§ 72 = Ant. Iud. XIII 303.

τὸ ἄδηλον, διίστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογείων ἀλαμπεῖ (κατέκειτο δ' ἐν τῇ Βάρει πρότερον καλουμένῃ, αὖθις δ' Ἀντωνίᾳ μετονομασθείσῃ), προστάξας ἀόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον εἰ μετὰ τῶν ὅπλων προσίοι. καὶ πρὸς αὐτὸν ἔπεμψε τοὺς προεροῦντας ἄοπλον ἐλθεῖν. 〈76〉 πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάττεται μετὰ τῶν ἐπιβούλων· τοὺς γὰρ πεμφθέντας πείθουσι τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον ὡς ἀδελφὸς ἀκούσας ὅπλα θ' αὑτῷ κατεσκευακέναι κάλλιστα καὶ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ, διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη, νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλεις, θεάσαιτ' ἂν ἥδιστά σ' ἐν τοῖς ὅπλοις.' 〈77〉 ταῦτ' ἀκούσας ὁ Ἀντίγονος (ἐνῆγε δ' ἡ τἀδελφοῦ διάθεσις μηδὲν ὑποπτεύειν πονηρόν) ἐχώρει μετὰ τῶν ὅπλων ὡς πρὸς ἐπίδειξιν. γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον ἣ Στράτωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον ἀποδείξας ὅτι πᾶσαν εὔνοιαν καὶ φύσιν κόπτει διαβολή, καὶ οὐδὲν οὕτω τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν ὃ τῷ φθόνῳ μέρει παντὸς ἀντέχει.

〈78〉 θαυμάσειε δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν (Ἐσσαῖος ἦν γένος, οὐκ ἔστιν ὅτε πταίσας ἢ ψευσθεὶς ἐν τοῖς προαγγέλμασιν), ὃς ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ, πρὸς τοὺς γνωρίμους ἀνέκραγεν (ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες αὐτῷ τῶν μανθανόντων) 〈79〉 'παπαῖ· νῦν ἐμοὶ καλόν' ἔφη 'τὸ θανεῖν, ὅτε μου προτέθνηκεν ἡ ἀλήθεια καί τι τῶν ὑπ' ἐμοῦ προρρηθέντων διέψευσται. ζῇ γὰρ

§ 76 = Ant. Iud. XIII 308.

'Αντίγονος οὑτοσὶ σήμερον ὀφείλων ἀνηρῆσθαι. χωρίον δ' αὐτῷ πρὸς σφαγὴν Στράτωνος πύργος εἵμαρτο· καὶ τοῦτο μὲν ἀφ' ἑξακοσίων σταδίων ἐντεῦθέν ἐστιν, ὧραι δὲ τῆς ἡμέρας ἤδη τέτταρες· ὁ δὴ χρόνος ἐκκρούει τὸ μάντευμα.' ⟨80⟩ *ταῦτ' εἰπὼν σκυθρωπὸς ἐπὶ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ ὀλίγον ἀνηρημένος 'Αντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγειον χωρίον ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος, δμωνύμως τῇ παραλίῳ Καισαρείᾳ. τοῦτο γοῦν τὸν μάντιν διετάραξεν.*

⟨81⟩ *'Αριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοῦ μύσους μεταμέλεια νόσον ἐνσκήπτει, καὶ πρὸς ἐννοίᾳ τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ τεταραγμένην συνετήκετο, μέρη τῶν σπλάγχνων ὑπ' ἀκράτου τῆς λύπης σπαρατταίνων ἄθρουν αἷμ' ἀναβάλλει.* ⟨82⟩ *τοῦτό τις τῶν ἐν τῇ θεραπείᾳ παίδων ἐκφέρων, δαιμονίῳ προνοίᾳ ἁλίσκεται καθ' ὃν τόπον ὁ 'Αντίγονος ἔσφακτο, καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ φόνου σπίλοις τὸ αἷμα τοῦ πεσόντος ἐπεξέχεεν. ἤρθη δ' αὐθὺς οἰμωγὴ τῶν θεασαμένων, ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπικαταπεσόντος τὸ αἷμα·* ⟨83⟩ *τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς τὴν αἰτίαν ἐπυνθάνετο, καὶ μηδενὸς τολμῶντος εἰπεῖν μᾶλλον ἐνέκειτο μαθεῖν ἐθέλων. τέλος δ' ἀναιδοῦντι καὶ βιαζομένῳ τἀληθὲς εἶπον. ὃ δὲ τοὺς ὀφθαλμοὺς ἐμπίμπλησι δακρύων, καὶ στενάξας ὅσον ἦν αὐτῷ δύναμις, εἶπεν* ⟨84⟩ *'οὐκ ἄρα θεοῦ μέγαν ὀφθαλμὸν ἐπ' ἔργοις ἀθεμίτοις λήσειν ἔμελλον, ἀλλά μοι τίσεις μέτεισι δίκη φόνου συγγενοῦς. μέχρι τοῦ μοι, σῶμ' ἀναιδέστατον, τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον ψυχὴν καθέξεις; μέχρι τοῦ δ' αὐτοῖς ἐπισπείσω*

§ 81 — Ant. Iud. XIII 314.

κατὰ μέρος τούμὸν αἷμα; λαβέτωσαν ἄθρουν τοῦτο, καὶ μηκέτι ταῖς ἐκ τῶν ἐμῶν σπλάγχνων χοαῖς ἐπειρωνευέσθω τὸ δαιμόνιον.' ταῦτ' εἰπὼν εὐθέως τελευτᾷ, βασιλεύσας οὐ πλέον ἐνιαυτοῦ.

4 ⟨85⟩ *λύσασα δ' ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ, βασιλέα καθίστησιν Ἀλέξανδρον τὸν καθ' ἡλικίαν καὶ μετριότητι προύχειν δοκοῦντα. ὃ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν τὸν ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει, τὸν δὲ καταλειπόμενον, ἀγαπῶντα τὸ ζῆν δίχα πραγμάτων, εἶχεν ⟨ἐν τιμῇ⟩.*

2 ⟨86⟩ *γίγνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα Πτολεμαῖον συμβολή, πόλιν Ἄσωχιν ἠρηκότα· καὶ πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς τὸν Πτολεμαῖον ἔρρεψεν. ἐπεὶ δ' οὗτος ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διωχθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε πολιορκίᾳ κρατεῖ καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν ὑπὲρ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ.* ⟨87⟩ *ἐπελθὼν δ' ἐξαίφνης ὁ Θεόδωρος τά τε σφέτερα καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε Ἰουδαίων εἰς μυρίους κτείνει. γίγνεται δ' ἐπάνω τῆς πληγῆς Ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παράλιον αἱρεῖ Ῥαφίαν τε καὶ Γάζαν καὶ Ἀνθηδόνα τὴν αὖθις ὑφ' Ἡρώδου τοῦ βασιλέως Ἀγριππιάδα ἐπικληθεῖσαν.*

3 ⟨88⟩ *ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰουδαϊκὸν ἐν ἑορτῇ· μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. καὶ δοκεῖ μὴ ἂν κρείττων γενέσθαι τῆς ἐπιβολῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει. Πισίδαι καὶ Κίλικες ἦσαν· Σύρδυς γὰρ οὐκ*

§ 86 = Ant. Iud. XIII 337 sq.

ἐδέχετο μισθοφόρους διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. ⟨89⟩ κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ἑξακισχιλίους Ἀραβίας ἥπτετο, καὶ ταύτης ἑλὼν Γαλααδίτας τε καὶ Μωαβίτας, φόρον τ' αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπ' Ἀμαθοῦντα. Θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας αὐτοῦ καταπλαγέντος, ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

⟨90⟩ ἔπειτα συμβαλὼν Ὀβέδᾳ τῷ Ἀράβων βασιλεῖ προλοχίσαντι κατὰ τὴν Γαυλάνην, ἐνέδρας αὐτῷ γενομένης πᾶσαν ἀποβάλλει τὴν στρατιάν, συνωσθεῖσαν κατὰ βαθείας φάραγγος καὶ πλήθει καμήλων συντριβεῖσαν. διαφυγὼν δ' αὐτὸς εἰς Ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. ⟨91⟩ γίγνεται δὲ καὶ τότε κρείττων, καὶ μάχαις ἐπαλλήλοις οὐκ ἔλαττον πεντακισμυρίων Ἰουδαίων ἀνεῖλεν ἐν ἓξ ἔτεσιν. οὐ μὲν ηὐφραίνετό γε ταῖς νίκαις, τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων· ὅθεν παυσάμενος τῶν ὅπλων λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. ⟨92⟩ οἳ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. κυνθανομένῳ τε τὸ αἴτιον, καὶ τί ἂν ποιήσας καταστείλειεν αὐτούς, 'ἀποθανών' ἔλεγον· νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι. ἅμα δὲ καὶ τὸν Ἄκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. ῥᾳδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων, καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

⟨93⟩ δέχεται δ' ἑκατέρους Ἀλέξανδρος ἱππεῦσι ὁ μὲν χιλίοις, μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις· παρῆν δ' αὐτῷ καὶ τὸ εὐνοοῦν Ἰουδαϊκὸν εἰς μυρίους.

§. 89 = Ant. Iud. XIII 374. § 93 = Ant. Iud. XIII 378.

τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζοὶ δὲ μύριοι τετρακισχίλιοι. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διαχηρύττοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων, Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. ⟨94⟩ ὡς δ' οὔθ' οἱ Ἰουδαῖοι θυμῶν οὔθ' οἱ Ἕλληνες ἐπαύοντο πίστεως, διεκρίνοντ' ἤδη τοῖς ὅπλοις συμπεσόντες. ⟨95⟩ κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος, καίπερ πολλὰ τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως παρὰ δόξαν ἀμφοτέροις· οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν εἰς τὰ ὄρη καταφυγόντι Ἰουδαίων ἑξακισχίλιοι. ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε Δημήτριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταρρεῖν δὲ καὶ πᾶν τὸ ἔθνος πρὸς αὐτόν, ἀνεχώρησεν.

6 ⟨96⟩ οὐ μὴν τό γε λοιπὸν πλῆθος ὑποχωρησάντων τῶν συμμάχων κατέθεντο τὰς διαφοράς, συνεχὴς δὲ πρὸς Ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας τοὺς λοιποὺς ἀπήλασεν εἰς Βεμέσελιν πόλιν, καὶ ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς Ἱεροσόλυμα. ⟨97⟩ προύκοψε δ' αὐτῷ δι' ὑπερβολὴν ὀργῆς εἰς ἀσέβειαν τὸ τῆς ὠμότητος· τῶν γὰρ ληφθέντων εἰς ὀκτακοσίους ἀναστανρώσας ἐν μέσῃ τῇ πόλει, γυναῖκάς τε καὶ τέκν' αὐτῶν ἀπέσφαξεν ἐν ταῖς ὄψεσι, καὶ ταῦτα πίνων καὶ συγκαταχείμενος ταῖς παλλακίσιν ἀφεώρα. ⟨98⟩ τοσαύτη δὲ κατάπληξις ἔσχε τὸν δῆμον ὥστε τῶν ἀντιστασιωτῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτακισχιλίους ἔξω Ἰουδαίας ὅλης, οἷς

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

καθιστᾶσι Κοίλης Συρίας βασιλέα. στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον κατὰ συνθήκας ἀνεχώρησεν. ⟨104⟩ Ἀλέξανδρος δὲ Πέλλαν ἑλὼν ἐπὶ Γέρασαν ᾔει πάλιν, τῶν Θεοδώρου χτημάτων γλιχόμενος, καὶ τρισὶ τοὺς φρουροὺς περιβόλοις ἀποτειχίσας δίχα μάχης τὸ χωρίον παραλαμβάνει. ⟨105⟩ καταστρέφεται δὲ καὶ Γαυλάνην καὶ Σελεύκειαν καὶ τὴν Ἀντιόχου φάραγγα καλουμένην· πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλών, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ παραλύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν εἰς τὴν Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. ⟨106⟩ ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους προσεδέχθη διὰ τὴν εὐπραγίαν. καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν ἀρχὴν νόσου. τεταρταίαις δὲ περιόδοις πυρετῶν ἐνοχλούμενος φήθη διακρούσεσθαι τὴν ἀρρωστίαν πάλιν ἁψάμενος πραγμάτων. διὸ δὴ στρατείαις ἀκαίροις ἑαυτὸν ἐπιδιδούς, καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας, ἀπήλλαξε. τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη.

⟨107⟩ καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικί, πεπεισμένος ταύτῃ μάλιστ' ἂν ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα καὶ ταῖς παρανομίαις ἀνθισταμένη τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. ⟨108⟩ καὶ οὐ διήμαρτε τῆς ἐλπίδος· ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον διὰ δόξαν εὐσεβείας· ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς ἀπεβάλλετο. ⟨109⟩ δύο δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον

---

8 108 = Ant. Iud. XIII 405.

Ἱρκανὸν διά τε τὴν ἡλικίαν ἀποδείκνυσιν ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον ἢ ὥστ' ἐνοχλεῖν περὶ τῶν ὅλων, τὸν δὲ νεώτερον Ἀριστόβουλον διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

5 ⟨110⟩ *παραφύονται δ' αὐτῇ εἰς τὴν ἐξουσίαν Φαρι-* 2
σαῖοι, σύνταγμά τι Ἰουδαίων δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων καὶ τοὺς νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. ⟨111⟩ *τούτοις περιττὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα, σεσοβημένη περὶ τὸ θεῖον. οἳ δὲ τὴν*
10 *ἁπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίγνοντο, διώκειν τε καὶ καθάγειν οὓς ἐθέλοιεν, λύειν τε καὶ δεσμεῖν. καθόλου δ' αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας ἐκείνων ἦσαν, τὰ δ' ἀναλώματα καὶ αἱ δυσχέρειαι τῆς Ἀλεξάνδρας.*
15 ⟨112⟩ *δεινὴ δ' ἦν τὰ μείζω διοικεῖν, δύναμίν τ' ἀεὶ συγκροτοῦσα δικπλασίονα κατέστησε καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην, ὡς μὴ μόνον κρατύνασθαι τὸ οἰκεῖον ἔθνος, ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτή, Φαρισαῖοι δ' αὐτῆς.*

⟨113⟩ *Διογένην γοῦν τινα τῶν ἐπισήμων, φίλον* 3
Ἀλεξάνδρῳ γεγενημένον, κτείνουσιν αὐτοί, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχρήσασθαι τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμονίας, ἀνῄρουν οὓς ἐθέλοιεν αὐτοί. ⟨114⟩ *προσ-*
ρεύγουσι δ' Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ [illegible] δοκοῦντες. κἀκεῖνος πείθει τὴν μητέρα φεί[illegible] μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δ' [illegible], εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως.

§ 113 = Ant. Iud. XIII 411.

οἳ μὲν οὖν δοθείσης ἀδείας ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν· ⟨115⟩ Ἀλεξάνδρα δ' ἐκπέμψασα ἐπὶ Δαμασκὸν στρατιάν (πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν) ταύτην μὲν ὑπεδέξατο μηδὲν ἀξιόλογον δρασαμένην, ⟨116⟩ Τιγράνην δὲ τὸν Ἀρμενίων βασιλέα προσκαθεξόμενον Πτολεμαΐδι καὶ πολιορκοῦντα Κλεοπάτραν συνθήκαις καὶ δώροις ὑπηγάγετο. φθάνει δ' ἐκεῖνος ἀπαναστὰς διὰ τὰς οἴκοι ταραχάς, ἐμβεβληκότος εἰς τὴν Ἀρμενίαν Λευκούλλου.

4 ⟨117⟩ κἀν τούτῳ νοσούσης Ἀλεξάνδρας ὁ νεώτερος τῶν παίδων Ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκείων (εἶχε δὲ πολλούς, καὶ πάντας εὐνους διὰ τὴν θερμότητα) κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων τοῖς δ' ἐκ τούτων χρήμασι μισθοφόρους ἀθροίσας ἑαυτὸν ἀποδείκνυσι βασιλέα. ⟨118⟩ πρὸς ταῦτ' ὀδυρόμενον τὸν Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα καὶ τοὺς παῖδας τοὺς Ἀριστοβούλου καθείργνυσιν εἰς τὴν Ἀντωνίαν· φρούριον δ' ἦν τῷ βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μέν, ὡς ἔφη Βᾶρις ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας ἐπικρατήσαντος Ἀντωνίου, καθάπερ ἀ. τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα Σεβαστὴ καὶ Ἀγριππι πόλεις ἕτεραι μετωνομάσθησαν. ⟨119⟩ πρὶν δ' ἐ εξελθεῖν Ἀλεξάνδραν τὸν Ἀριστόβουλον τῆς τἀδελφ καταλύσεως, τελευτᾷ, διοικήσασα τὴν ἀρχὴν ἔτεσ ἐννέα.

6 ⟨120⟩ καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανὸ φ καὶ ξῶσα τὴν βασιλείαν ἐνεχείρισε, δυνάμει δὲ κ φρονήματι προεῖχεν ὁ Ἀριστόβουλος. γενομένης αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἰεριχοῦντ

§ 120 = Ant. Iud. XIV 4.

καταλιπόντες οἱ πλεῖστοι τὸν Ὑρκανὸν μεταβαίνουσι πρὸς τὸν Ἀριστόβουλον. ⟨121⟩ ὃ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν, καὶ χωρισθεὶς τῶν πρὸς σωτηρίαν ὁμήρων (ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων) ἀμέλει πρὶν ἀνηκέστου πάθους διελύθησαν, ὥστε βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δ' ἑκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς ὥσπερ ἀδελφὸν βασιλέως. ⟨122⟩ ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς οἰκίας· Ἀριστόβουλος μὲν γὰρ εἰς τὰ βασίλεια, Ὑρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

⟨123⟩ δέος δὲ τοῖς τ' ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστ' Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. γένος δ' ἦν Ἰδουμαῖος, προγόνων θ' ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. ⟨124⟩ οὗτος ἅμα καὶ τὸν Ὑρκανόν, Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Ὑρκανὸν καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχήν, πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Ὑρκανόν [παρῆνει δέξασθαι], καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας ὑπερέχειν χεῖρα τῶν ἀδικουμένων· ἀδικεῖσθαι δὲ τὸν Ὑρκανὸν στερηθέντα τῆς κατὰ τὸ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. ⟨125⟩ προκατασκευάσας δ' ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν τὸν Ὑρκανὸν ἐκ τῆς πόλεως ἀποδιδράσκει, καὶ συντόνῳ φυγῇ χρώμενος εἰς τὴν καλουμένην Πέτραν διασώζεται· βασίλειον αὕτη τῆς Ἀραβίας ἐστίν.

§ 125 = Ant. Iud. XIV 16.

〈126〉 *ἔνθα τῷ Ἀρέτᾳ τὸν Ὑρκανὸν ἐγχειρίσας, καὶ πολλὰ μὲν καθομιλήσας πολλοῖς δὲ δώροις ὑπελθών, δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. ἦν δ' αὕτη πεζῶν τε καὶ ἱππέων πέντε μυριάδες, πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος, ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ λειφθεὶς εἰς Ἱεροσόλυμα συνελαύνεται.* 〈127〉 *κἂν ἔφθη κατὰ κράτος ληφθείς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγός, ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν· ὃς ἐπέμφθη μὲν εἰς Συρίαν ἀπ' Ἀρμενίας ὑπὸ Πομπηίου Μάγνου πολεμοῦντος πρὸς Τιγράνην, παραγενόμενος δ' εἰς Δαμασκὸν ἁλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, ἐπειδὴ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη.*

3 〈128〉 *παρελθόντος γοῦν εἰς τὴν χώραν πρέσβεις εὐθέως ἦκον παρὰ τῶν ἀδελφῶν, ἑκατέρου βοηθεῖν αὐτῷ δεομένου. γίγνεται δ' ἐπίπροσθεν τοῦ δικαίου τὰ παρ' Ἀριστοβούλου τριακόσια τάλαντα· τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήιον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν.* 〈129〉 *ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγείς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος.* 〈130〉 *Ἀριστοβούλῳ δ' οὐκ ἀπέχρησε τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον Παπυρῶνα συμβαλὼν αὐτοῖς ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου, Φαλλίωνα.*

4 〈131〉 *Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα.*

§ 131 = Ant. Iud. XIV 41.

κἀπειδὴ Πομπήιος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἦκεν, ἐπ' αὐτὸν καταφεύγουσι· καὶ δίχα δώρων, αἷς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι, κατηντιβόλουν μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ τῷ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. ⟨132⟩ οὐ μὴν οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ, παρῆν δὲ καὶ αὐτὸς ὡς οἷόν τ' ἦν βασιλικώτατα κεκοσμηκὼς ἑαυτόν. ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ Δίου πόλεως χωρίζεται.

⟨133⟩ πρὸς ταῦτ' ἀγαναχτήσας Πομπήιος, πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων, ὥρμησεν ἐπ' Ἀριστόβουλον ἀναλαβὼν τήν τε Ῥωμαϊκὴν δύναμιν καὶ πολλοὺς ἐκ τῆς Συρίας συμμάχους. ⟨134⟩ ἐπεὶ δὲ παρελαύνων Πέλλαν καὶ Σκυθόπολιν ἦκεν ἐς Κορέας, ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα κατὰ τὴν μεσόγειον ἀνιόντων, ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον (τοῦτο δ' ἐστὶ φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων, ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον), πέμψας καταβαίνειν αὐτὸν ἐκέλευσε. ⟨135⟩ τῷ δ' ἦν μὲν ὁρμή, καλουμένῳ δεσποτικώτερον, διακινδυνεύειν μᾶλλον ἢ ὑπακοῦσαι, καθεώρα δὲ τὸ πλῆθος ὀρρωδοῦν, καὶ παρῄνουν οἱ φίλοι σκέπτεσθαι τὴν Ῥωμαίων ἰσχὺν οὖσαν ἀνυπόστατον. οἷς πεισθεὶς κάτεισι πρὸς Πομπήιον, καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς ὑπέστρεψεν εἰς τὸ ἔρυμα. ⟨136⟩ πάλιν τε τἀδελφοῦ προκαλουμένου καταβάς, καὶ διαλεχθεὶς περὶ τῶν δικαίων, ἄπεισι μὴ κωλύοντος τοῦ Πομπηίου. μέσος δ' ἦν ἐλπίδος καὶ δέους, καὶ κατῄει μὲν ὡς

§ 133 = Ant. Iud. XIV 48.

δυσωπήσων Πομπήιον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δ' ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν ἑαυτόν. ⟨137⟩ ἐπεὶ μέντοι Πομπήιος ἐξίστασθαί τε τῶν φρουρίων ἐκέλευσεν αὐτῷ καί, παράγγελμα τῶν φρουράρχων ἐχόντων μόναις πειθαρχεῖν ταῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐκχωρεῖν, ποιεῖ μὲν τὸ προσταχθέν, ἀγαναχτήσας δ' ἀνεχώρησεν εἰς Ἱεροσόλυμα καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήιον.

6 ⟨138⟩ ὃ δ' (οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς) εὐθέως εἶπετο, καὶ προσεπέρρωσε τὴν ὁρμὴν ὁ Μιθραδάτου θάνατος, ἀγγελθεὶς αὐτῷ περὶ Ἱεριχοῦντα, ἔνθα τὸ τῆς Ἰουδαίας πιότατον φοίνικά τε πάμπολυν καὶ βάλσαμον τρέφει· τοῦτο λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα συλλέγουσι, κατὰ τὰς τομὰς ἐκδακρῦον. ⟨139⟩ καὶ στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἑσπέραν, ἔωθεν ἠπείγετο πρὸς Ἱεροσόλυμα· καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος ἱκέτης ὑπαντᾷ, χρημάτων θ' ὑποσχέσει καὶ τῷ μετὰ τῆς πόλεως ἐπιτρέπειν καὶ ἑαυτὸν χαλεπαίνοντα καταστέλλει τῷ Πομπήιον. ⟨140⟩ οὐ μήν τι τῶν ὡμολογημένων ἔπραττε· τὸν γὰρ ἐπὶ τῇ κομιδῇ τῶν χρημάτων πεμφθέντα Γαβίνιον οἱ τὰ Ἀριστοβούλου φρονοῦντες οὐδὲ τῇ πόλει δέχονται.

7 ⟨141⟩ πρὸς ταῦτα ἀγαναχτήσας Πομπήιος Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν περιεσκόπει ποῖ προσβάλῃ· τήν τε γὰρ ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ἑώρα καὶ τὴν πρὸ τούτων φάραγγα φοβεράν, τό θ' ἱερὸν ἐντὸς τῆς φάραγγος ὀχυρώτατα τετειχισμένον, ὥστε τοῦ ἄστεος ἁλισκομέ-

§ 138 = Ant. Iud. XIV 54.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τείχους. ἀνέστελλον δ' οἱ πετροβόλοι τοὺς καθύπερθεν κωλύοντας· ἀντεῖχον δ' ἐπὶ πλεῖστον οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι, μεγέθει τε καὶ κάλλει διαφέροντες.

4 ⟨148⟩ ἔνθα δὴ τῶν Ῥωμαίων πολλὰ κακοπαθούντων, ὁ Πομπήιος τά τ' ἄλλα τῆς καρτερίας τοὺς Ἰουδαίους ἀπεθαύμαζε, καὶ μάλιστα τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας ἐν μέσοις τοῖς βέλεσιν ἀνειλουμένους. ὥσπερ γὰρ εἰρήνης βαθείας κατεχούσης τὴν πόλιν, αἵ τε θυσίαι καθ' ἡμέραν καὶ οἱ ἐναγισμοὶ καὶ πᾶσα θεραπεία κατὰ τάκριβὲς ἐξετελεῖτο τῷ θεῷ· καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν, περὶ τῷ βωμῷ φονευόμενοι, τῶν καθ' ἡμέραν νομίμων εἰς τὴν θρησκείαν ἀπέστησαν. ⟨149⟩ τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας μόλις ἕνα τῶν πύργων καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. ὁ δὲ πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος Σύλλα παῖς ἦν Φαῦστος Κορνήλιος, καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο, Φούριος καὶ Φάβιος. εἵπετο δ' ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περισχόντες πανταχῇ

5 τοὺς Ἰουδαίους ἔκτεινον, οὓς μὲν τῷ ναῷ προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον. ⟨150⟩ ἔνθα πολλοὶ τῶν ἱερέων, ξιφήρεις τοὺς πολεμίους ἐπιόντας βλέποντες, ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν, σπένδοντες δὲ καὶ θυμιῶντες ἀπεσφάττοντο, καὶ τῆς πρὸς τὸ θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. πλεῖστοι δ' ὑπὸ τῶν δμοφύλων ἀντιστασιωτῶν ἀνῃροῦντο, καὶ κατὰ τῶν χρημνῶν ἐρρίπτουν ἑαυτοὺς ἄπειροι· καὶ τὰ περὶ τὸ τεῖχος ἔνιοι, μανιῶντες ἐν ταῖς ἀμηχανίαις, ὑπέπρησαν καὶ συγκαταφλέγονται. ⟨151⟩ Ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύριοι καὶ

§ 148 = Ant Iud. XIV 66.

ισχίλιοι, Ῥωμαίων δ' ὀλίγοι μὲν πάνυ νεκροί, τραυματίαι δ' ἐγένοντο πλείους.

〈152〉 οὐδὲν δ' οὕτως ἐν ταῖς τότε συμφοραῖς κα- 6
θήψατο τοῦ ἔθνους ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλλοφύλων. παρελθὼν γοῦν σὺν ταῖς περὶ αὐτὸν ὁ Πομπήιος εἰς τὸν ναόν, ἔνθα μόνῳ θεμιτὸν ἦν παριέναι τῷ ἀρχιερεῖ, τὰ ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους καὶ τράπεξαν καὶ σπονδεῖα καὶ θυμιατήρια, ὁλόχρυσα πάντα, πλῆθός τ' ἀρωμάτων σεσωρευμένον, καὶ τῶν ἱερῶν χρημάτων εἰς τάλαντα δισχίλια. 〈153〉 οὔτε δὲ τούτων οὔτ' ἄλλου τινὸς τῶν ἱερῶν κειμηλίων ἥψατο, ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως ἡμέραν καθῆραί τε τὸ ἱερὸν τοῖς νεωκόροις προσέταξε καὶ τὰς ἐξ ἔθους ἐπιτελεῖν θυσίας, αὖθις ἀποδείξας Ὑρκανὸν ἀρχιερέα, τά τ' ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ παρασχόντα, καὶ διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν Ἀριστοβούλῳ συμπολεμεῖν ὡρμημένον. ἐκ τούτων, ὅπερ ἦν προσῆκον ἡγεμόνι στρατηγῷ, τὸν λαὸν εὐνοίᾳ πλέον ἢ δέει προσηγάγετο. 〈154〉 ἐν δὲ τοῖς αἰχμαλώτοις ἐλήφθη καὶ ὁ Ἀριστοβούλου πενθερός· ὁ δ' αὐτὸς ἦν καὶ θεῖος αὐτῷ. καὶ τοὺς μὲν αἰτιωτάτους τοῦ πολέμου πελέκει κολάζει, Φαῦστον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους λαμπροῖς ἀριστείοις δωρησάμενος, τῇ τε χώρᾳ καὶ τοῖς Ἱεροσολύμοις ἐπιτάττει φόρον.

〈155〉 ἀφελόμενος δὲ τοῦ ἔθνους καὶ τὰς ἐν Κοίλῃ 7
Συρίᾳ πόλεις ὅσας εἶλεν, ὑπέταξε τῷ κατ' ἐκεῖνο Ῥωμαίων στρατηγῷ κατατεταγμένῳ, καὶ μόνοις αὐτοὺς τοῖς ἰδίοις ὅροις περιέκλεισεν. ἀνακτίζει δὲ καὶ Γά-

§ 152 = Ant. Iud. XIV 72. § 155 = Ant. Iud. XIV 75.

δαρα, ὑπὸ Ἰουδαίων κατεστραμμένην, Γαδαρίτῃ τινὶ τῶν ἰδίων ἀπελευθέρων Δημητρίῳ χαριζόμενος. ⟨156⟩ ἠλευθέρωσε δ' ἀπ' αὐτῶν καὶ τὰς ἐν τῇ μεσογείῳ πόλεις, ὅσας μὴ φθάσαντες κατέσκαψαν, Ἵππον Σκυθόπολίν τε καὶ Πέλλαν καὶ Σαμάρειαν καὶ Μάρισσαν, πρὸς αἷς Ἄζωτον καὶ Ἰάμνειαν καὶ Ἀρέθουσαν, ὁμοίως δὲ καὶ τὰς παραλίους, Γάζαν Ἰόπην Δῶρα, καὶ τὴν πάλαι μὲν Στράτωνος πύργον καλουμένην, ὕστερον δὲ μεταχτισθεῖσαν ὑφ' Ἡρώδου βασιλέως λαμπροτάτοις κατασκευάσμασι καὶ μετονομασθεῖσαν Καισάρειαν. ⟨157⟩ ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολίταις κατέταξεν εἰς τὴν Συριακὴν ἐπαρχίαν. παραδοὺς δὲ ταύτην τε καὶ τὴν Ἰουδαίαν καὶ τὰ μέχρι Αἰγύπτου καὶ Εὐφράτου Σκαύρῳ διέπειν, καὶ δύο τῶν ταγμάτων, αὐτὸς διὰ Κιλικίας εἰς Ῥώμην ἠπείγετο, τὸν Ἀριστόβουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. ⟨158⟩ δύο δ' ἦσαν αὐτῷ θυγατέρες καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν Ἀλέξανδρος ἐκ τῆς ὁδοῦ διαδιδράσκει, σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος Ἀντίγονος εἰς Ῥώμην ἐκομίζετο.

8 ⟨159⟩ κἀν τούτῳ Σκαῦρος εἰς τὴν Ἀραβίαν ἐμβαλὼν τῆς μὲν Πέτρας εἴργετο ταῖς δυσχωρίαις, ἐπόρθει δὲ τὰ πέριξ πολλά, κἀν τούτῳ κακοπαθῶν, ἐλίμωττε γὰρ ἡ στρατιά, καὶ πρὸς τοῦτο Ὑρκανὸς ἐπεβοήθει, δι' Ἀντιπάτρου τἀπιτήδεια πέμπων. ὃν καὶ καθίησι Σκαῦρος ὄντα συνήθη πρὸς Ἀρέταν, ὅπως ἐπὶ χρήμασι διαλύσαιτο τὸν πόλεμον. πείθεται δ' ὁ Ἄραψ τριακόσια δοῦναι τάλαντα, κἀπὶ τούτοις Σκαῦρος ἐξῆγε τῆς Ἀραβίας τὴν δύναμιν.

2 ⟨160⟩ ὁ δ' ἀποδρὰς τῶν Ἀριστοβούλου παίδων Πομπήιον Ἀλέξανδρος, χρόνῳ συναγαγὼν χεῖρα συχνήν,

§ 160 = Ant. Iud. XIV 82.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ὁ ἡγεμὼν Μᾶρκος Ἀντώνιος, παντὸς μὲν γενναῖος ἀεὶ φανείς, οὐδαμοῦ δ' οὕτως. Γαβίνιος δὲ τοὺς ἐξαιρήσοντας τὸ φρούριον καταλιπὼν αὐτὸς ἐπῄει τὰς μὲν ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας ἀνακτίζων. ⟨166⟩ συνεπολίσθησαν γοῦν τούτου κελεύσαντος Σκυθόπολίς τε καὶ Σαμάρεια καὶ Ἀνθηδὼν καὶ Ἀπολλωνία καὶ Ἰάμνεια καὶ Ῥαφία καὶ Μάρισσά τε καὶ Ἀδώρεος καὶ Γάμαλα καὶ Ἄζωτος ἄλλαι τε πολλαί, τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνθεόντων.

⟨167⟩ μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ Ἀλεξάνδρειον ἐπέρρωσε τὴν πολιορκίαν, ὥστ' Ἀλέξανδρος ἀπογνοὺς περὶ τῶν ὅλων ἐπικηρυκεύεται πρὸς αὐτόν, συγγνωσθῆναί τε τῶν ἡμαρτημένων δεόμενος καὶ τὰ συμμένοντα φρούρια παραδιδούς, Ὑρκάνειον καὶ Μαχαιροῦντα· αὖθις δὲ καὶ τὸ Ἀλεξάνδρειον ἐνεχείρισεν. ⟨168⟩ ἃ πάντα Γαβίνιος, ἐναγούσης τῆς Ἀλεξάνδρου μητρός, κατέσκαψεν, ὡς μὴ πάλιν ὁρμητήριον γένοιτο δευτέρου πολέμου. παρῆν δὲ μειλισσομένη τὸν Γαβίνιον κατὰ δέος τῶν ἐπὶ τῆς Ῥώμης αἰχμαλώτων, τοῦ τ' ἀνδρὸς καὶ τῶν ἄλλων τέκνων. ⟨169⟩ μετὰ δὲ ταῦτ' εἰς Ἱεροσόλυμα Γαβίνιος Ὑρκανὸν καταγαγών, καὶ τὴν τοῦ ἱεροῦ παραδοὺς κηδεμονίαν αὐτῷ, καθίστησι τὴν ἄλλην πολιτείαν ἐπὶ προστασίᾳ τῶν ἀρίστων. ⟨170⟩ διεῖλε δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνόδους, τὸ μὲν Ἱεροσολύμοις προστάξας, τὸ δὲ Γαδάροις, οἳ δ' ἵνα συντελῶσιν εἰς Ἀμαθοῦντα· τὸ δὲ τέταρτον εἰς Ἱεριχοῦντα κεκλήρωτο, καὶ τῷ πέμπτῳ Σέπφωρις ἀπεδείχθη πόλις τῆς Γαλιλαίας. ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες τὸ λοιπὸν ἀριστοκρατίᾳ διῴκουντο.

〈171〉 μετ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίγνεται θορύβων Ἀριστόβουλος ἀποδρὰς ἐκ Ῥώμης, ὃς αὖθις πολλοὺς Ἰουδαίων ἐπισυνίστη, τοὺς μὲν ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δ' ἀγαπῶντας αὐτὸν πάλαι. καὶ τὸ μὲν πρῶτον καταλαβόμενος τὸ Ἀλεξάνδρειον ἀναστειχίζειν ἐπειρᾶτο· ὡς δὲ Γαβίνιος ὑπὸ Σισέννᾳ καὶ Ἀντωνίῳ καὶ Σερουιανῷ στρατιὰν ἔπεμψεν ἐπ' αὐτόν, γνοὺς ἀνεχώρει ἐπὶ Μαχαιροῦντος, καὶ τὸν μὲν ἄχρηστον ὄχλον ἀπεφορτίσατο, 〈172〉 μόνους δ' ἐπήγετο τοὺς ὡπλισμένους, ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ Πειθόλαος ἦν ὁ ἐξ Ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων. Ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς μέχρι πολλοῦ μὲν οἱ περὶ τὸν Ἀριστόβουλον διεκαρτέρουν γενναίως ἀγωνιζόμενοι, τέλος δὲ βιασθέντες ὑπὸ τῶν Ῥωμαίων πίπτουσι μὲν πεντακισχίλιοι, περὶ δὲ δισχιλίους ἀνέφυγον εἰς τινα λόφον. οἱ δὲ λοιποὶ χίλιοι σὺν Ἀριστοβούλῳ, διακόψαντες τὴν φάλαγγα τῶν Ῥωμαίων, εἰς Μαχαιροῦντα συνελαύνονται. 〈173〉 ἔνθα δὴ τὴν πρώτην ἑσπέραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος ἐν ἐλπίσι μὲν ἦν ἄλλην συναθροίσειν δύναμιν, ἀνοχὴν τοῦ πολέμου διδόντος, καὶ τὸ φρούριον κακῶς ὠχύρου, προσπεσόντων δὲ Ῥωμαίων ἐπὶ δύ' ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν ἁλίσκεται, καὶ μετ' Ἀντιγόνου τοῦ παιδός, ὃς ἐκ Ῥώμης αὐτῷ συναπέδρα, δεσμώτης ἐπὶ Γαβίνιον ἀνήχθη, καὶ ὑπὸ Γαβινίου πάλιν εἰς Ῥώμην. 〈174〉 τοῦτον μὲν οὖν ἡ σύγκλητος εἶρξε, τὰ τέκνα δ' αὐτοῦ διῆγεν εἰς Ἰουδαίαν, Γαβινίου δι' ἐπιστολῶν δηλώσαντος τῇ Ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως τῶν ἐρυμάτων ὡμολογηκέναι.

§ 171 = Ant. Iud. XIV 92.

7 ⟨175⟩ *Γαβινίῳ δ' ἐπὶ Πάρθους ὡρμημένῳ στρατεύειν γίγνεται Πτολεμαῖος ἐμπόδιον, ὃν ὑποστρέψας ἀπ' Εὐφράτου κατῆγεν εἰς Αἴγυπτον, ἐπιτηδείοις εἰς ἅπαντα χρώμενος κατὰ τὴν στρατείαν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ· καὶ γὰρ χρήματα καὶ ὅπλα καὶ σῖτον καὶ ἐπικούρους ὁ Ἀντίπατρος προσῆγε, καὶ τοὺς ταύτῃ Ἰουδαίους, φρουροῦντας τὰς κατὰ τὸ Πηλούσιον ἐμβολάς, παρεῖναι Γαβίνιον ἔπεισε.* ⟨176⟩ *τῆς δ' ἄλλης Συρίας πρὸς τὸν Γαβινίου χωρισμὸν κινηθείσης, καὶ Ἰουδαίους πάλιν ἀπέστησεν Ἀλέξανδρος ὁ Ἀριστοβούλου, μεγίστην δὲ συγκροτήσας δύναμιν ὥρμητο πάντας τοὺς κατὰ τὴν χώραν Ῥωμαίους ἀνελεῖν.* ⟨177⟩ *πρὸς ὃ Γαβίνιος δείσας (ἤδη δὲ παρῆν ἀπ' Αἰγύπτου τοῖς τῇδε θορύβοις ἠπειγμένος) ἐπὶ τινὰς μὲν τῶν ἀφεστώτων Ἀντίπατρον προπέμψας μετέπεισε, συνέμενον δ' Ἀλεξάνδρῳ τρεῖς μυριάδες, κἀκεῖνος ὥρμητο πολεμεῖν. οὕτως ἕξεισι πρὸς μάχην· ὑπήντων δ' οἱ Ἰουδαῖοι, καὶ συμβαλόντων περὶ τὸ Ἰταβύριον ὄρος μύριοι μὲν ἀναιροῦνται, τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ.* ⟨178⟩ *καὶ Γαβίνιος ἐλθὼν εἰς Ἱεροσόλυμα πρὸς τὸ Ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. ἔνθεν ὁρμήσας Ναβαταίων τε μάχῃ κρατεῖ, καὶ Μιθραδάτην καὶ Ὀρσάνην φυγόντας ἐκ Πάρθων κρύφα μὲν ἀπέπεμψε, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδρᾶναι.*

8 ⟨179⟩ *κἀν τούτῳ Κράσσος αὐτῷ διάδοχος ἐλθὼν παραλαμβάνει Συρίαν. οὗτος εἰς τὴν ἐπὶ Πάρθους στρατείαν τόν τ' ἄλλον τοῦ ἐν Ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλε, καὶ τὰ δισχίλια τάλαντα ἦρεν ὧν ἀπέσχετο Πομπήιος. διαβὰς δὲ τὸν Εὐφράτην*

§ 175 = Ant. Iud. XIV 98. § 179 = Ant. Iud. XIV 105.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἐν μέλιτι συντηρούμενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' Ἀντωνίου Ἰουδαίοις ἐπέμφθη τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος.

2 ⟨185⟩ ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος πελέκει ὑπὸ Σκιπίωνος ἐν Ἀντιοχείᾳ, Πομπηίου τοῦτ' ἐπιστείλαντος καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος ὧν Ῥωμαίους ἔβλαψε. τοὺς δ' ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου παραλαβών, ὃς ἐκράτει τῆς ὑπὸ τῷ Λιβάνῳ Χαλκίδος, Φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς εἰς Ἀσκάλωνα πέμπει. ⟨186⟩ κἀκεῖνος ἀποσπάσας τῆς Ἀριστοβούλου γυναικὸς Ἀντίγονον καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν. ἄλους δ' ἔρωτι γαμεῖ τὴν νεωτέραν, καὶ μετὰ ταῦθ' ὑπὸ τοῦ πατρὸς δι' αὐτὴν κτείνεται· γαμεῖ γὰρ Πτολεμαῖος τὴν Ἀλεξάνδραν, ἀνελὼν τὸν υἱόν, καὶ διὰ τὸν γάμον κηδεμονικώτερος αὐτὸς ἦν πρὸς τοὺς αὐτῆς ἀδελφούς.

3 ⟨187⟩ Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηίου τελευτὴν μεταβὰς ἐθεράπευε Καίσαρα· κἀπειδήπερ Μιθραδάτης ὁ Περγαμηνός, μεθ' ἧς ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως, εἰργόμενος τῶν κατὰ τὸ Πηλούσιον ἐμβολῶν ἐν Ἀσκάλωνι κατείχετο, τούς τ' Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι, καὶ αὐτὸς ἦκεν ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. ⟨188⟩ παρώρμησε δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν, τόν τ' ἔποικον τοῦ Λιβάνου Πτολεμαῖον καὶ Ἰάμβλιχον, δι' οὓς αἱ ταύτῃ πόλεις ἑτοίμως συνεφήψαντο τοῦ πολέμου. ⟨189⟩ καὶ θαρρῶν ἤδη Μιθραδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύι πρὸς τὸ Πηλούσιον ἐξελαύνει, κωλυόμενός τε διεξελθεῖν ἐπολιόρκει τὴν

§ 187 = Ant. Iud. XIV 128.

πόλιν. γίγνεται δὲ κἀν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος· τὸ γὰρ καθ' αὑτὸν μέρος τοῦ τείχους διαρρήξας πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ.

〈190〉 καὶ τὸ Πηλούσιον μὲν ἑάλω, πρόσω δ' αὐτοὺς ἰόντας εἶργον αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες Ἰουδαῖοι Αἰγύπτιοι. τούτους δ' Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τἀπιτήδεια τῇ δυνάμει παρασχεῖν. ὅθεν οὐδ' οἱ κατὰ τὴν Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθραδάτῃ. 〈191〉 κἀκεῖνος ἤδη τὸ Δέλτα περιελθὼν συνέβαλλε τοῖς λοιποῖς Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον ὃς Ἰουδαίων στρατόπεδον καλεῖται. κινδυνεύοντα δ' αὐτὸν ἐν τῇ παρατάξει σὺν ὅλῳ τῷ δεξιῷ κέρατι φύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν τοῦ ποταμοῦ· 〈192〉 τῶν γὰρ καθ' ἑαυτὸν ἐκράτει τὸ λαιὸν ἔχων κέρας. ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθραδάτην ἀπέκτεινέ τε πολλούς, καὶ μέχρι τοσούτου τοὺς καταλειπομένους ἐδίωξεν ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν· ὀγδοήκοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλε, καὶ Μιθραδάτης ἐν τῇ τροπῇ περὶ ὀκτακοσίους. σωθεὶς δ' αὐτὸς παρ' ἐλπίδα, μάρτυς ἀβάσκανος γίγνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

〈193〉 ὃ δὲ τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις καὶ ταῖς ἐλπίσιν εἰς τοὺς ὑπὲρ ἑαυτοῦ κινδύνους ἐπέρρωσεν, ἐν οἷς πᾶσι παραβολώτατος ἀγωνιστὴς γενόμενος, καὶ πολλὰ τρωθεὶς ἐφ' ὅλου σχεδὸν τοῦ σώματος εἶχε τὰ σημεῖα τῆς ἀρετῆς· 〈194〉 αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον, ὡς ἐπανῆκεν

§ 190 = Ant. Iud. XIV 132.

εἰς Συρίαν, πολιτείᾳ τ' αὐτὸν τῇ Ῥωμαίων ἐτίμησε καὶ ἀτελείᾳ, τῆς τ' ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν ξηλωτὸν ἐποίησε, καὶ τὴν ἀρχιερωσύνην δὲ δι' αὐτὸν ἐπεκύρωσεν Ὑρκανῷ.

10 ⟨195⟩ *κατ' αὐτὸ δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου πρὸς τὸν Καίσαρα παρὼν, γίγνεται παραδόξως Ἀντιπάτρῳ μείζονος προκοπῆς αἴτιος. δέον γοῦν ἀποδύρεσθαι περὶ τοῦ πατρὸς πεφαρμάχθαι δοκοῦντος ὑπὸ τῶν πρὸς Πομπήιον διαφορῶν, καὶ περὶ τἀδελφοῦ τὴν Σκιπίωνος ὠμότητα μέμφεσθαι, καὶ μηδὲν εἰς τὸν ἔλεον παραμῖξαι φθονερὸν πάθος, ὃ δ' ἐπὶ τοῖς Ὑρκανοῦ καὶ Ἀντιπάτρου κατηγόρει παρελθών,* ⟨196⟩ *ὡς παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ διὰ κόρον ἐξυβρίζοιεν, καὶ ὅτι τὴν εἰς Αἴγυπτον συμμαχίαν οὐκ ἀπ' εὐνοίας αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῶν πάλαι διαφορῶν, καὶ τὴν πρὸς τὸν Πομπήιον φιλίαν ἀποσκευαζόμενοι.*

2 ⟨197⟩ *πρὸς ταῦθ' ὁ Ἀντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα τὸ πλῆθος ἐπεδείκνυε τῶν τραυμάτων, καὶ περὶ μὲν τῆς εἰς Καίσαρα εὐνοίας οὐκ ἔφη λόγου δεῖν αὐτῷ (κεκραγέναι γὰρ τὸ σῶμα σιωπῶντος),* ⟨198⟩ *Ἀντιγόνου δὲ θαυμάζειν τὴν τόλμαν, εἰ πολεμίου Ῥωμαίων υἱὸς ὢν καὶ Ῥωμαίου δραπέτου, καὶ τὸ νεωτεροποιὸς εἶναι καὶ στασιώδης αὐτὸς πατρῷον ἔχων, παρὰ τῷ Ῥωμαίων ἡγεμόνι κατηγορεῖν ἐπιχειρήκει ἑτέρων, καὶ πειρᾶται τυχεῖν ἀγαθοῦ τινος, δέον ἀγαπᾶν ὅτι ζῇ· καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων οὐ τοσοῦτον δι' ἀπορίαν, ἀλλ' ἵνα Ἰουδαίους διαστασιάσῃ παρελθὼν καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς ἀφορμαῖς.*

§ 195 = Ant. lud. XIV 140.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

προσεχῆ τῇ Συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους, αὐτόν τε συλλαβὼν ἀποκτείνει καὶ πολλοὺς τῶν ληστῶν. ⟨205⟩ ὃ δὴ μάλιστα τοῖς Σύροις κατώρθωκε κεχαρισμένον· ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας κἀν ταῖς πόλεσιν Ἡρώδης ὡς εἰς εἰρήνην αὐτοῖς παρὼν καὶ τὰς κτήσεις ἀνασεσωκώς. γίγνεται δ' ἐκ τούτου καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος καὶ διοικοῦντι τὴν Συρίαν. ⟨206⟩ πρὸς δὲ τὸν ἀδελφὸν εὐδοκιμοῦντα καὶ Φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν, τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνουστέρους καθιστάμενος, καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, μηδὲν δ' ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξυβρίζων.

⟨207⟩ ἐντεῦθεν Ἀντιπάτρῳ θεραπεία τ' ἦν ἐκ τοῦ ἔθνους βασιλικὴ καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων· οὐ μὴν αὐτὸς τῆς πρὸς Ὑρκανὸν εὐνοίας
6 ἢ πίστεώς τι μετεκίνησεν. ⟨208⟩ ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν. Ὑρκανὸς γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δ' ἐλύπει τὰ Ἡρώδου κατορθώματα· καὶ κήρυκες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες, πολλοὶ δὲ τῶν, ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων ἢ τὸ Ἀντιπάτρου σωφρονικὸν προσίστατο, ⟨209⟩ λέγοντες ὡς Ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ παραχωρήσας τῶν πραγμάτων καθέζοιτο τοὔνομα μόνον βασιλέως ἔχων ἔρημον ἐξουσίας· καὶ μέχρι τοῦ πλανήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δ' εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον, εἴ γε μήτ' ἐντολὰς δόντος μήτ' ἐπιστείλαντος αὐτοῦ τοσούτους παρὰ τὸν Ἰουδαίων νόμον ἀνῄρηκεν Ἡρώδης· ὃν, εἰ μὴ βασιλεύς ἐστιν ἀλλ' ἔτι ἰδιώτης,

εἶν ἐπὶ δίκην ἧκειν, ἀποδώσοντα λόγον αὐτῷ τε καὶ
οἷς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτους οὐκ ἐφιᾶσι.
〈210〉 τούτοις κατὰ μικρὸν Ὑρκανὸς ἐξεκαίετο, καὶ 7
τὴν ὀργὴν τελευταῖον ἐκρήξας ἐκάλει κριθησόμενον
τὸν Ἡρώδην. ὃ δὲ καὶ τοῦ πατρὸς παραινοῦντος καὶ
τῶν πραγμάτων διδόντων παρρησίαν ἀνῄει, φρουραῖς
διαλαβὼν πρότερον τὴν Γαλιλαίαν. ἦλθε δὲ μετὰ καρ-
παρσῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν Ὑρκανὸν
ἀδρὰν ἄγων δύναμιν, μήτε γυμνὸς ἐμπέσοι τῷ φθόνῳ.
〈211〉 Σέξτος δὲ Καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, μή
τι παρὰ τοῖς ἐχθροῖς ἀπολῃφθεὶς πάθῃ, πέμπει πρὸς
τὸν Ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην ἀπο-
λύειν Ἡρώδην τῆς φονικῆς δίκης. ὃ δὲ καὶ ἄλλως
ὀργιζόμενος (ἠγάπα γὰρ Ἡρώδην) ἀποψηφίζεται.
〈212〉 καὶ ὃς ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως 8
διαφυγεῖν, εἰς Δαμασκὸν ἀνεχώρησε πρὸς Σέξτον,
παρασκευαζόμενος οὐδ' αὖθις ὑπακοῦσαι καλοῦντι.
καὶ πάλιν οἱ πονηροὶ παρώξυνον τὸν Ὑρκανόν, κατ'
ὀργήν τ' οἰκεσθαι τὸν Ἡρώδην λέγοντες καὶ παρε-
σκευασμένον κατ' αὐτοῦ. πιστεύων δ' ὁ βασιλεὺς οὐκ
ἦρεν ὅ τι χρὴ δρᾶν, ὡς ἑώρα μείζονα τὸν διάφορον.
〈213〉 ἐπεὶ δ' ὑπὸ Σέξτου Καίσαρος στρατηγὸς ἀνε-
δείχθη Κοίλης Συρίας καὶ Σαμαρείας, οὐ μόνον τε
κατ' εὔνοιαν τὴν ἐκ τοῦ ἔθνους ἀλλὰ καὶ δυνάμει
πρεσβεύς ἦν, εἰς ἔσχατον δέους κατεπέσεν Ὑρκανός, ὅσον
οὔπω προσδοκῶν ἐπ' αὐτὸν ὁρμήσειν μετὰ στρατιᾶς.
〈214〉 καὶ οὐ διήμαρτε τῆς οἰήσεως· ὁ γὰρ Ἡρώδης 9
κατ' ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν
ἀθροίσας ἐπὶ Ἱεροσολύμων ἦγε, καταλύσων τὸν Ὑρκα-
νόν. κἂν ἔφθη τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες

§ 210 = Ant. Iud. XIV 169. § 214 = Ant. Iud. XIV 181.

ὅ τε πατὴρ καὶ ἀδελφὸς ἔκλασαν αὐτοῦ τὴν ὁρμή παρακαλοῦντες αὐτὸν ἀπειλῇ καὶ ἀνατάσει μόνῃ μ τρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ βασιλέως ὑ οὗ μέχρι τοσαύτης δυνάμεως προῆλθε· δεῖν τ', κληθεὶς ἐπὶ δίκην παρώξυνται, καὶ περὶ τῆς ἀφέσε εὐχαριστεῖν, καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἅπαντ περὶ δὲ τῆς σωτηρίας ἀχάριστον εἶναι. ⟨215⟩ εἰ δὴ λογιστέον εἴη καὶ πολέμου ῥοπὰς βραβεύεσθαι τ θεῷ, πλέον εἶναι τῆς στρατείας τὸ ἄδικον. διὸ δὴ κ περὶ τῆς νίκης οὐ χρῆναι κατὰ πᾶν εὔελπιν εἶνα μέλλοντά γε συμβάλλειν βασιλεῖ καὶ συντρόφῳ κ πολλάκις μὲν εὐεργέτῃ, χαλεπῷ δ' οὐδέποτε, πλ ὅσον πονηροῖς συμβούλοις χρώμενος ἐπισείσειεν αὐτ σκιὰν ἀδικήματος. πείθεται τούτοις Ἡρώδης, ὑπ λαβὼν εἰς τὰς ἐλπίδας αὔταρκες εἶναι καὶ τὸ τ ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει.

10 ⟨216⟩ κἀν τούτῳ γίγνεται περὶ Ἀπάμειαν ταραχ Ῥωμαίων καὶ πόλεμος ἐμφύλιος, Καικιλίου μὲν Βάσσ διὰ τὴν εἰς Πομπήιον εὔνοιαν δολοφονήσαντος Σέξτ Καίσαρα καὶ τὴν ἐκείνου δύναμιν παραλαβόντος, τὰ δ' ἄλλων Καίσαρος στρατηγῶν ἐπὶ τιμωρίᾳ τοῦ φόν Βάσσῳ μετὰ δυνάμεως συνελθόντων. ⟨217⟩ οἷς κ διὰ τὸν ἀνῃρημένον καὶ διὰ τὸν περιόντα Καίσαρ φίλους ὄντας ἀμφοτέρους, ὁ Ἀντίπατρος διὰ τῶν πα
11 δων ἔπεμψε συμμαχίαν. ⟨218⟩ μηκυνομένου δὲ τ πολέμου Μοῦρκος μὲν ἀπὸ τῆς Ἰταλίας Σέξτου παρ γίγνεται διάδοχος, συνίσταται δὲ Ῥωμαίοις κατὰ το τον τὸν καιρὸν ὁ μέγας πόλεμος, Κασσίου καὶ Βρο του κτεινάντων δόλῳ Καίσαρα, κατασχόντα τὴν ἀρχ ἐπ' ἔτη τρία καὶ μῆνας ἑπτά. μεγίστου δ' ἐπὶ

§ 216 = Ant. Iud. XIV 268.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

εἰς τὴν τῆς ἐπιβουλῆς ἄμυναν. ⟨224⟩ φωραθεὶς δ
Μάλιχος ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων περι
γίγνεται· τόν τε γὰρ Ἱεροσολύμων φρουρὸν Φασάηλο
καὶ Ἡρώδην πεπιστευμένον τὰ ὅπλα, πολλαῖς ἀπο
λογίαις καὶ ὅρκοις ἐκγοητεύσας, διαλλακτὰς αὐτῷ πρὸ
τὸν πατέρα πείθει γενέσθαι. πάλιν γοῦν ὑπ' Ἀντι
πάτρου σώζεται, πείσαντος Μοῦρκον τὸν τότε στρα
τηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον ἐφ' οἷ
ἐνεωτέρισε.

4 ⟨225⟩ συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βρού
του πολέμου Καίσαρί τε τῷ νέῳ καὶ Ἀντωνίῳ, Κάσ
σιος καὶ Μοῦρκος στρατιὰν ἀθροίσαντες ἐκ τῆς Συρίας
ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας Ἡρώδης ἔδοξε συμ
βεβλῆσθαι, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν
καθιστᾶσι, δύναμιν πεζήν τε καὶ ἱππικὴν δόντες, μετὰ
δὲ τὴν τοῦ πολέμου κατάλυσιν ἀποδείξειν Κάσσιος
ὑπέσχετο καὶ Ἰουδαίας βασιλέα. ⟨226⟩ συνέβη δὲ
Ἀντιπάτρῳ τήν τ' ἰσχὺν τοῦ παιδὸς καὶ τὴν ἐλπίδα
αἰτίαν ἀπωλείας γενέσθαι. ταῦτα γὰρ δείσας ὁ Μά
λιχος διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρή
μασι, δοῦναι φάρμακον Ἀντιπάτρῳ. καὶ ὃ μὲν ἀγω
μισμα τῆς Μαλίχου παρανομίας γενόμενος μετὰ τ
συμπόσιον θνήσκει, τά τ' ἄλλα δραστήριος ἀνὴρ ἐ
ἀφηγήσει πραγμάτων καὶ τὴν ἀρχὴν ἀναστησάμενό
5 τε Ὑρκανῷ καὶ διαφυλάξας· ⟨227⟩ Μάλιχος δὲ κατ
ὑπόνοιαν τῆς φαρμακείας ὀργιζόμενον τὸ πλῆθος ἀρ
νούμενος ἔπειθεν, καὶ δυνατώτερον ἑαυτὸν κατε
σκεύαζεν ὁπλίτας συγκροτῶν. οὐ γὰρ ἠρεμήσειν Ἡρώ
δην ὑπελάμβανεν, ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν
ἄγων ἐπὶ τιμωρίᾳ τοῦ πατρός. ⟨228⟩ Φασαήλου δ

§ 225 = Ant. Iud. XIV 281.

τἀδελφοῦ συμβουλεύσαντος αὐτῷ μὴ φανερῶς τὸν ἄνδρα μετιέναι (διαστασιάσειν γὰρ τὸ πλῆθος), τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν Μάλιχον καὶ τῆς ὑπονοίας ἀπολύειν ὡμολόγει, λαμπρὰν δὲ πομπὴν ἐπὶ τῇ πατριχῇ κηδείᾳ ἐτέλεσεν, ⟨229⟩ τραπεὶς δ' ἐπὶ 6
Σαμάρειαν στάσει τεταραγμένην κατεστήσατο τὴν πόλιν· ἔπειτα καθ' ἑορτὴν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, τοὺς ὁπλίτας ἄγων. καὶ πέμπων Ὑρκανός (ἐνῆγε γὰρ δεδοικὼς τὴν ἔφοδον Μάλιχος) ἐκώλυε τοὺς ἀλλοφύλους εἰσαγαγεῖν ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. ὁ δὲ τῆς προφάσεως καταφρονήσας καὶ τοῦ προστάτοντος εἰσέρχεται διὰ νυκτός. ⟨230⟩ καὶ πάλιν Μάλιχος προσιὼν ἔκλαιεν Ἀντίπατρον· ἀνθυπεκρίνετο δὲ μάλις Ἡρώδης τὸν θυμὸν ἐπέχων, καὶ Κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο, καὶ ἄλλως μισοῦντι Μάλιχον. ὃ δ' αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπιστείλας, καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρᾳ προσέταξεν Ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν. ⟨231⟩ κἀπειδὴ Λαοδίκειαν ἐλόντος αὐτοῦ 7
ἔνησαν οἱ πανταχόθεν δυνατοὶ δωρεάς τε καὶ στεφάνους φέροντες, Ἡρώδης μὲν τοῦτον τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισε, Μάλιχος δ' ὑποπτεύσας, ὡς ἐν Τύρῳ γίγνεται, τόν θ' υἱὸν δμηρεύοντα παρὰ τοῖς Τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρᾳ, καὶ αὐτὸς εἰς τὴν Ἰουδαίαν ἀποδρᾶναι παρεσκευάζετο. ⟨232⟩ παρώξυνε δ' αὐτὸν ἡ τῆς σωτηρίας ἀπόγνωσις ἐνθυμεῖσθαι καὶ μείζονα· τό τε γὰρ ἔθνος ἐπαναστήσειν Ῥωμαίοις ἤλπισε, Κασσίου τῷ πρὸς Ἀντώνιον πολέμῳ περισπωμένου, καὶ βασιλεύσειν αὐτὸς Ὑρκανὸν καταλύσας εὐμαρῶς. ⟨233⟩
ἐπηγέλα δ' ἄρα τὸ χρεὼν αὐτοῦ ταῖς ἐλπίσιν. ὁ γοῦν 8

§ 231 = Ant. Iud. XIV 290.

Ἡρώδης προϊδόμενος αὐτοῦ τὴν δρμὴν τόν τε Ὑρκανὸν κἀκεῖνον ἐπὶ δεῖπνον καλεῖ, παρεστῶτα δ' ἔπειτα τῶν οἰκετῶν τινα πρὸς ἑαυτὸν καλέσας εἰσέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευήν, τῷ δ' ὄντι προειπεῖν τοῖς χιλιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. ⟨234⟩ *κἀκεῖνοι τῶν Κασσίου προσταγμάτων ἀναμνησθέντες ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξῆσαν ξιφήρεις. ἔνθα περιστάντες τὸν Μάλιχον πολλοῖς τραύμασιν ἀναιροῦσιν. Ὑρκανὸς δὲ παραχρῆμα μὲν ἐκλυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσε, μόλις δ' ἀνενεγκὼν Ἡρώδην διηρώτα τίς ὁ κτείνας εἴη Μάλιχον.* ⟨235⟩ *ἀποκριναμένου δέ τινος τῶν χιλιάρχων 'τὸ Κασσίου πρόσταγμα', 'Κάσσιος ἄρα' ἔφη 'κἀμὲ καὶ τὴν πατρίδα μου σώζει, τὸν ἀμφοτέρων ἐπίβουλον ἀνελών.' εἴτε δὲ φρονῶν Ὑρκανὸς οὕτως εἶθ' ὑπὸ δέους ὁμόσε τῇ πράξει χωρῆσαν εἶπεν, ἄδηλον ἦν.*

ἀλλὰ γὰρ Μάλιχον μὲν οὕτως Ἡρώδης μετῆλθεν·
12 ⟨236⟩ *Κασσίου δ' ἀναχωρήσαντος ἐκ τῆς Συρίας πάλιν στάσις ἐν Ἱεροσολύμοις γίγνεται, Ἕλικος μετὰ στρατιᾶς ἐπαναστάντος Φασαήλῳ, καὶ κατὰ τὴν ὑπὲρ Μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος Ἡρώδην εἰς τὸν ἀδελφόν. Ἡρώδης δ' ἔτυχε μὲν ὢν παρὰ Φαβίῳ τῷ στρατηγῷ κατὰ Δαμασκόν, ὡρμημένος δὲ βοηθεῖν ὑπὸ νόσου κατείχετο.* ⟨237⟩ *κἀν τούτῳ Φασάηλος καθ' ἑαυτὸν Ἕλικος περιγενόμενος Ὑρκανὸν ὠνείδιζεν εἰς ἀχαριστίαν, ὧν τε Ἕλικι συμπράξειε, καὶ ὅτι περιορᾷ τὸν ἀδελφὸν τὸν Μαλίχου τὰ φρούρια καταλαμβάνοντα· πολλὰ γὰρ ἤδη κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον Μασάδα.*

2 ⟨238⟩ *οὐ μὴν αὐτῷ τι πρὸς τὴν Ἡρώδου βίαν*

§ 236 = Ant. Iud. XIV 294.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

Ὑρκανῷ τίμιον. πρὸς ἃ παρὼν Ἡρώδης, καὶ τεθεραπευκὼς οὐκ ὀλίγοις Ἀντώνιον χρήμασιν, οὕτω διέθηκεν ὡς μηδὲ λόγου τῶν ἐχθρῶν ἀνέχεσθαι. καὶ τότε μὲν
5 οὕτω διελύθησαν, ⟨243⟩ αὖθις δ' οἱ ἐν τέλει Ἰουδαίων ἑκατὸν ἄνδρες ἦκον εἰς τὴν πρὸς Ἀντιοχείᾳ Δάφνην ἐπ' Ἀντώνιον, ἤδη τῷ Κλεοπάτρας ἔρωτι δεδουλωμένον· οἳ προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατωτάτους κατηγόρουν τῶν ἀδελφῶν. ὑπήνετο δὲ Μεσσάλας ἀπολογούμενος, συμπαρεστῶτος Ὑρκανοῦ διὰ τὸ κῆδος. ⟨244⟩ καὶ Ἀντώνιος ἀκούσας ἑκατέρων Ὑρκανοῦ διεπυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρχειν. τοῦ δὲ τοὺς περὶ τὸν Ἡρώδην προκρίναντος, ἡσθείς (ἦν γὰρ ἤδη καὶ ξένος αὐτοῖς πατρῷος, δεχθεὶς ὑπ' Ἀντιπάτρου φιλοφρόνως ὅτ' εἰς τὴν Ἰουδαίαν σὺν Γαβινίῳ παρέβαλε) τετράρχας ἀποδείκνυσι τοὺς ἀδελφούς, πᾶσαν διοικεῖν τὴν Ἰουδαίαν ἐπιτρέπων.
6 ⟨245⟩ προσαγανακτούντων δὲ τῶν πρέσβεων πεντεκαίδεκα μὲν συλλαβὼν εἴργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησε, τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασε. πρὸς ὃ μείζων ἐν τοῖς Ἱεροσολύμοις γίγνεται ταραχή. χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος. ἐπὶ τούτους κεκραγότας ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων, κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσι τετράρχαις.
7 ⟨246⟩ πρὸ δὲ τούτου πολλὰ παρῄνει προελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδης σὺν Ὑρκανῷ, μήθ' ἑαυτοῖς ἀπωλείας αἰτίους μήτε τῇ πατρίδι πολέμου γίγνεσθαι, φιλονικοῦντας ἀκρίτως. τῶν δ' ἔτι μᾶλλον ἀγανακτούντων Ἀντώνιος ἐκπέμψας ὁπλίτας πολλοὺς μὲν

§ 243 = Ant. Iud. XIV 324.

ἀπέκτεινε πολλοὺς δ' ἔτρωσεν· ὧν οἵ τε πεσόντες ταφῆς καὶ οἱ τραυματίαι θεραπείας ἠξιώθησαν ὑπὸ Ὑρκανοῦ. ⟨247⟩ οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, ἀλλὰ τὰ κατὰ τὴν πόλιν συνταράττοντες παρώξυναν τὸν Ἀντίοχον ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.

⟨248⟩ μετὰ δ' ἔτη δύο Βαρζαφάρνου τοῦ Πάρθων σατράπου σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος, Λυσανίας διαδεδεγμένος ἤδη τὴν ἀρχὴν τοῦ πατρὸς τελευτήσαντος (Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μενναίου) πείθει τὸν σατράπην ὑποσχέσει χιλίων ταλάντων καὶ πεντακοσίων γυναικῶν καταγαγεῖν ἐπὶ τὰ βασίλεια τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Ὑρκανόν. ⟨249⟩ τούτοις ὑπαχθεὶς Πάκορος αὐτὸς μὲν ᾔει κατὰ τὴν παράλιον, Βαρζαφάρνην δὲ διὰ τῆς μεσογείου προσέταξεν ἐμβαλεῖν. τῶν δ' ἐπιθαλαττίων Τύριοι Πάκορον οὐκ ἐδέξαντο, καίτοι Πτολεμαιῶν καὶ Σιδωνίων δεδεγμένων. ὃ δ' οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς ἐμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν, κατασκεψόμενόν τε τὰ τῶν πολεμίων καὶ πρὸς ἃ δέοι βοηθήσοντα Ἀντιγόνῳ. ⟨250⟩ τῶν δὲ λῃζομένων τὸν Κάρμηλον πολλοὶ Ἰουδαῖοι συνδραμόντες πρὸς Ἀντίγονον προθύμους ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. ὃ δ' αὐτοὺς ἐπὶ τὸν καλούμενον Δρυμὸν προύπεμψε, τὸ χωρίον καταλαβεῖν· ἐν ᾧ γενομένης συμβολῆς ὠσάμενοι τοὺς πολεμίους καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἔθεον, γενόμενοι δὲ πλείους μέχρι τῶν βασιλείων προῆλθον. ⟨251⟩ Ὑρκανοῦ δὲ καὶ Φασαήλου δεξαμένων αὐτοὺς χαρτερῷ στίφει, μάχη κατὰ τὴν ἀγορὰν συρρήγνυνται, καθ' ἣν τρεψάμενοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην κατακλείουσιν εἰς τὸ

13

2

§ 248 = Ant. Iud. XIV 330.

ἱερόν, καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς πλησίον οἰκίαις ἐγκατέστησαν. ⟨252⟩ τούτους μὲν οὖν ὑστασιάζων πρὸς τοὺς ἀδελφοὺς λαὸς ἐπελθὼν ἐμπίμπρησιν, Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπολωλότων ἀναιρεῖ συμβαλών. καὶ καθ' ἡμέραν ἐπεκθεόντων ἀλλήλοις κατὰ λόχους φόνος ἦν ἀδιάλειπτος.

3 ⟨253⟩ ἐνστάσης δ' ἑορτῆς ἡ πεντηκοστὴ καλεῖται, τά τε περὶ τὸ ἱερὸν πάντα καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ τῆς χώρας ἀναπίμπλαται, τὸ πλέον ὁπλιτῶν. καὶ Φασάηλος μὲν τὸ τεῖχος, Ἡρώδης δὲ μετ' οὐ πολλῶν ἐφρούρει τὰ βασίλεια, καὶ τοῖς πολεμίοις ἐπεκδρομὼν ἀσυντάκτοις κατὰ τὸ προάστειον πλείστους μὲν ἀναιρεῖ, τρέπεται δὲ πάντας, καὶ τοὺς μὲν εἰς τὴν πόλιν τοὺς δὲ εἰς τὸ ἱερὸν τοὺς δ' εἰς τὸ ἔξω χαράκωμα συγκλείει. ⟨254⟩ κἀν τούτῳ διαλλακτὴν μὲν Ἀντίγονος παρακαλεῖ Πάκορον εἰσαφεῖναι, Φασάηλος δὲ πεισθεὶς τῇ τε πόλει καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται μετὰ πεντακοσίων ἱππέων, προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν, τὸ δ' ἀληθὲς Ἀντιγόνῳ βοηθόν. ⟨255⟩ τὸν γοῦν Φασάηλον ἐνεδρεύων ἀνέπεισε πρὸς Βαρζαφάρνην πρεσβεύσασθαι περὶ καταλύσεως, καίτοι γε πολλὰ ἀποτρέποντος Ἡρώδου καὶ παραινοῦντος ἀναιρεῖν τὸν ἐπίβουλον, ἀλλὰ μὴ ταῖς ἐπιβουλαῖς ἑαυτὸν ἐκδιδόναι· φύσει γὰρ ἀπίστους εἶναι τοὺς βαρβάρους. ἔξεισι δ' Ὑρκανὸν παραλαβών, καὶ Πάκορος, ὡς ἦττον ὑποπτεύοιτο, καταλιπὼν παρ' Ἡρώδῃ τινὰς τῶν Ἐλευθέρων καλουμένων ἱππέων, τοῖς λοιποῖς προύπεμπε Φασάηλον.

4 ⟨256⟩ ὡς δ' ἐγένοντο κατὰ τὴν Γαλιλαίαν, τοὺ

§ 253 = Ant. Iud. XIV 339.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

οἰνοχόος ἐπεβούλευε συλλαβεῖν, ἔξω τοῦ τείχους ἀπα-
τήσας προελθεῖν, ὥσπερ ἐντολὰς εἶχεν. ὁ δ' ἀπ
ἀρχῆς ὑποπτεύων τοὺς βαρβάρους, καὶ τότε πεπυσμένος
εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μηνύοντα τὴ
ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἠβούλετο
καίτοι μάλα ἀξιοπίστως τοῦ Πακόρου φάσκοντος δεῖ
αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν· οὔτε
γὰρ ἑαλωκέναι τοῖς πολεμίοις αὐτάς, καὶ περιέχειν
οὐκ ἐπιβουλὴν ἀλλ' ὁπόσα διεπράξατο Φασάηλος
〈262〉 ἔτυχε δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν
συνειλημμένον, καὶ προσήειν ἡ Ὑρκανοῦ θυγάτηρ Μα-
ριάμμη, συνετωτάτη γυναικῶν, καταντιβολοῦσα μὴ
προϊέναι, μηδ' ἐμπιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπι
χειροῦσι τοῖς βαρβάροις.

7 〈263〉 ἔτι δὲ τῶν περὶ Πάκορον σκεπτομένων πῶ
ἂν κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσειαν (οὐ γὰρ ἐκ φα-
νεροῦ οἷόντ' ἦν ἀνδρὸς οὕτω συνετοῦ περιγενέσθαι)
προλαβὼν Ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων
νύκτωρ ἐπ' Ἰδουμαίας ἐχώρει λάθρᾳ τῶν πολεμίων
〈264〉 αἰσθόμενοι δ' οἱ Πάρθοι κατεδίωκον. κἀκεῖνος
τὴν μὲν μητέρα καὶ τοὺς ἀδελφοὺς καὶ τὴν καθω-
μολογημένην παῖδα μετὰ τῆς μητρὸς καὶ τοῦ νεωτάτου
τῶν ἀδελφῶν προστάξας ὁδεύειν, αὐτὸς ἀσφαλῶς μετὰ
τῶν θεραπόντων ἀνέκοπτε τοὺς βαρβάρους, καὶ πολ-
λοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας εἰς Μασάδα
τὸ φρούριον ἀφίκετο.

8 〈265〉 καὶ βαρυτέρους κατὰ τὴν φυγὴν Πάρθω
Ἰουδαίους ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπ
δ' ἑξήκοντα τῆς πόλεως σταδίων καὶ παραταξαμένους
ἐπιεικῶς πολὺν χρόνον. ἔνθα κρατήσας Ἡρώδης κα

§ 265 = Ant. Iud. XIV 360.

πολλοὺς αὐτῶν ἀποκτείνας, αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισε τὸ χωρίον καὶ βασιλείοις πολυτελεστάτοις ἐκόσμησε, καὶ ἀκρόπολιν ὀχυρωτάτην ἀνεδείματο, Ἡρώδειόν τ' ἐκάλεσεν ἀφ' ἑαυτοῦ. ⟨266⟩ τηνικαῦτά γε μὴν φεύγοντι καθ' ἡμέραν αὐτῷ προσεγίγνοντο πολλοί. καὶ κατὰ Θρῆσαν γενομένῳ τῆς Ἰδουμαίας Ἰώσηπος ἀδελφὸς ὑπαντήσας συνεβούλευε τοὺς πολλοὺς τῶν ἑπομένων ἀποφορτίσασθαι· μὴ γὰρ ἂν τοσοῦτον ὄχλον δέξασθαι τὴν Μασάδαν. ἦσαν δ' ὑπὲρ ἑνακισχιλίους. ⟨267⟩ πειθεὶς οὖν Ἡρώδης τοὺς μὲν βαρυτέρους τῆς χρείας διαφῆκεν ἀνὰ τὴν Ἰδουμαίαν, δοὺς ἐφόδια, μετὰ δὲ τῶν ἀναγκαιοτάτων τοὺς ἀκμαιοτάτους κατασχὼν εἰς τὸ φρούριον διασώζεται. καταλιπὼν δ' ἐνταῦθα ταῖς γυναιξὶν ὀκτακοσίους φύλακας καὶ διαρκῆ τἀπιτήδεια πρὸς πολιορκίαν, αὐτὸς εἰς τὴν Ἀραβικὴν Πέτραν ἠπείγετο.

⟨268⟩ Πάρθοι δ' ἐν Ἱεροσολύμοις ἐφ' ἁρπαγὴν 9
τραπόμενοι τῶν φυγόντων εἰς τὰς οἰκίας εἰσέπιπτον καὶ τὸ βασίλειον, ἀπεχόμενοι μόνων τῶν Ὑρκανοῦ χρημάτων· ἦν δ' οὐ πλείω τριακοσίων ταλάντων. ἐπετύγχανον δὲ καὶ τῶν ἄλλων οὐχ ὅσοις ἤλπισαν· ὁ γὰρ Ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν βαρβάρων ὑφορώμενος, εἰς τὴν Ἰδουμαίαν τὰ λαμπρότατα τῶν κειμηλίων προανεσκεύαστο, καὶ τῶν αὐτῷ προσεχόντων ὁμοίως ἕκαστος. ⟨269⟩ Πάρθοι δὲ μετὰ τὰς ἁρπαγὰς ἐπὶ τοσοῦτον ὕβρεως ἐχώρησαν ὡς ἐμπλῆσαι μὲν ἀκηράτου πολέμου τὴν χώραν ἅπασαν, ἀνάστατον δὲ ποιῆσαι τὴν Μαρισαίων πόλιν, μὴ μόνον τε καταστῆσαι βασιλέα Ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ Φασάηλον καὶ Ὑρκανὸν δεσμώτας αἰκίσασθαι. ⟨270⟩ ὁ

§ 268 = Ant. Iud. XIV 365.

δὲ Ὑρκανοῦ μὲν προσπεσόντος αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδ' αὖθις ἐν μεταβολῇ ποτὲ δύναιτο τὴν ἀρχιερωσύνην ἀπολαβεῖν· ⟨271⟩ δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι· τῆς Φασαήλου δ' ἀρετῆς ὑστερίζει, φθάσαντος πέτρᾳ προσαράξαι τὴν κεφαλήν, ὥς γε σιδήρου καὶ χειρῶν εἴργετο. κἀκεῖνος μέν, Ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν καὶ Ὑρκανὸν ἀγεννέστατον, ἀνδρειότατα θνήσκει, ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν βίον ἔργοις πρέπουσαν· ⟨272⟩ κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκοι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δ' ἰατρὸς ὑπ' Ἀντιγόνου, θεραπεῦσαι δῆθεν αὐτόν, ἐμπλήσειε τὸ τραῦμα δηλητηρίων φαρμάκων καὶ διαφθείρειεν αὐτόν. ὁπότερον δ' ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. φασὶ γοῦν αὐτὸν καὶ πρὶν ἐκπνεῦσαι, πυθόμενον παρὰ γυναίου τινὸς ὡς Ἡρώδης διαπεφεύγοι, 'νῦν' εἰπεῖν 'εὔθυμος ἄπειμι, τὸν μετελευσόμενον τοὺς ἐχθροὺς ζῶντα καταλιπών.'

11 ⟨273⟩ ὁ μὲν οὖν οὕτω τελευτᾷ, Πάρθοι δέ, καίτοι διημαρτηκότες ὧν μάλιστ' ἐπεθύμουν γυναικῶν, καθιστᾶσι μὲν ἐν Ἱεροσολύμοις Ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δ' Ὑρκανὸν ἀνάγουσιν εἰς τὴν Παρθυηνήν.

14 ⟨274⟩ Ἡρώδης δὲ συντονώτερον ἤλαυνεν εἰς τὴν Ἀραβίαν, ὡς ἔτι τἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ Φασαήλου τὴν τῶν βαρβάρων ἤλπισε πλεονεξίαν. ἐλογίζετο γάρ, εἰ τῆς πατρῴας φιλίας ἀμνημονέστερος ὁ Ἄραψ γένοιτο καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσεσθαι παρ' αὐτοῦ τὰ λύτρα, φύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα· ⟨275⟩ καὶ γὰρ ἐπήγετο

§ 274 = Ant. Iud. XIV 370.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

δὲ παρελθὼν εἰς τὴν πόλιν ἐδέχθη μὲν λαμπρῶς ὑπ
Κλεοπάτρας, στρατηγὸν ἐλπιζούσης ἕξειν εἰς ἃ παρ
σκευάζετο· διακρουσάμενος δὲ τὰς παρακλήσεις τ
βασιλίδος, καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσα
μήτε τοὺς κατὰ τὴν Ἰταλίαν ἰθορύβους, ἐπὶ Ῥώμ
3 ἔπλει. ⟨280⟩ κινδυνεύσας δὲ περὶ τὴν Παμφυλίαν
καὶ τοῦ φόρτου τὸ πλέον ἐκβαλών, μόλις εἰς Ῥόδο
διασώζεται, σφόδρα τῷ πρὸς Κάσσιον πολέμῳ τετρ
χωμένην. δεχθεὶς δ' ὑπὸ Πτολεμαίου καὶ Σαπφινίο
τῶν φίλων, καίπερ ἐν ἀπορίᾳ χρημάτων ὤν, ναυ
πηγεῖται τριήρη μεγίστην, ⟨281⟩ ἐν ᾗ μετὰ τῶν φίλω
εἰς Βρεντέσιον καταπλεύσας, κἀκεῖθεν εἰς Ῥώμ
ἐπειχθείς, πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανε
Ἀντωνίῳ, καὶ τάς θ' αὑτοῦ καὶ τοῦ γένους συμφορὰ
ἐκδιηγεῖτο, ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ κατ
λιπὼν πολιορκουμένους διὰ χειμῶνος πλεύσειεν ἐ
αὐτὸν ἱκέτης.

4 ⟨282⟩ Ἀντωνίου δ' ἥπτετο πρὸς τὴν μεταβολὴ
οἴκτος, καὶ κατὰ μνήμην μὲν τῆς Ἀντιπάτρου ξενία
τὸ δ' ὅλον καὶ διὰ τὴν αὐτοῦ τοῦ παρόντος ἀρετή
ἔγνωκε τότε βασιλέα καθιστᾶν Ἰουδαίων ὃν πρότερο
αὐτὸς ἐποίησε τετράρχην. ἐνῆγε δ' οὐκ ἔλαττον τ
εἰς Ἡρώδην φιλοτιμίας ἡ πρὸς Ἀντίγονον διαφορ
τοῦτον γὰρ δὴ στασιώδη τε καὶ Ῥωμαίων ἐχθρὸν ὑπ
λάμβανε. ⟨283⟩ Καίσαρα μὲν οὖν εἶχεν ἑτοιμότερο
αὐτοῦ, τὰς Ἀντιπάτρου στρατείας ἀνανεούμενον, δ
κατ' Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, τήν τ
ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν κα
τὸ Ἡρώδου δραστήριον. ⟨284⟩ συνῆγε δὲ καὶ τὴ
βουλήν, ἐν ᾗ Μεσσάλας καὶ μετ' αὐτὸν Ἀτρατῖνο

§ 282 — Ant. Iud. XIV 379.

καραστησάμενοι τὸν Ἡρώδην, τάς τε πατρῴας εὐεργεσίας καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους εὔνοιαν διεξῆσαν, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν Ἀντίγονον ἐξ ὧν οὐ μόνον διηνέχθη τάχιον, ἀλλ' ὅτι καὶ τότε διὰ Πάρθων λάβοι τὴν ἀρχήν, Ῥωμαίους ὑπεριδών. τῆς δὲ συγκλήτου πρὸς ταῦτα κεκινημένης, ὡς παρελθὼν Ἀντώνιος καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον βασιλεύειν Ἡρώδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. ⟨285⟩ λυθείσης δὲ τῆς βουλῆς Ἀντώνιος μὲν καὶ Καῖσαρ μέσον ἔχοντες Ἡρώδην ἔξῆσαν, προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς οἱ ὕπατοι, θύσοντές τε καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ Καπετώλιον. τὴν δὲ πρώτην Ἡρώδου τῆς βασιλείας ἡμέραν Ἀντώνιος εἱστία αὐτόν.

⟨286⟩ παρὰ δὲ τὸν χρόνον τοῦτον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δ' ὕδατος. διὸ καὶ Ἰώσηπος ἀδελφὸς Ἡρώδου σὺν διακοσίοις τῶν οἰκείων θρασμὸν ἐβουλεύετο εἰς Ἄραβας, ἀκηκοὼς τῶν εἰς Ἡρώδην ἁμαρτημάτων Μαλίχῳ μεταμέλειν. ⟨287⟩ κἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς ἐξόδου συνέβη πλεῖστον ὗσαι· τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων οὐκέτ' ἔχρῃζε φυγῆς, ἀλλ' ἐπεξῆσαν ἤδη τοῖς περὶ τὸν Ἀντίγονον, καὶ τὰ μὲν φανερῶς συμπλεκόμενοι τὰ δὲ λοχῶντες συχνοὺς διέφθειρον. οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστι δ' ὅπῃ καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον.

⟨288⟩ κἀν τούτῳ Ὑεντίδιος ὁ Ῥωμαίων στρατηγός, 2 πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνειργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρενέβαλε, λόγῳ μὲν ὡς βοηθήσων

§ 286 = Ant. Iud. XIV 388.

τοῖς περὶ Ἰώσηπον, ἔργῳ δ' Ἀντίγονον ἀργυριούμενος. ⟨289⟩ ἔγγιστα γοῦν Ἱεροσολύμων αὐλισάμενος, ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως, Σίλωνα δὲ σὺν μέρει τινὶ κατα-
λέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειε πάντας ἀπαναστήσας. Ἀντίγονος δὲ πάλιν ἐλπίζων Πάρθους ἐπαμυνεῖν αὐτῷ, καὶ Σίλωνα τέως ἐθεράπευεν, ὡς μηδὲν ἐνοχλοίη πρὸς τὰς ἐλπίδας.

3 ⟨290⟩ ἤδη δὲ Ἡρώδης καταπεπλευκὼς ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν ὀλίγην ξένων τε καὶ δμοφύλων, ἤλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον, συλλαμβανόντων Ἐντιδίου καὶ Σίλωνος, οὓς Δέλλιος ὑπ' Ἀντωνίου πεμφθεὶς Ἡρώδην συγκαταγαγεῖν ἔπεισεν. ⟨291⟩ ἐτύγχανε δὲ Ἐντίδιος μὲν ἐν ταῖς πόλεσι τὰς διὰ Πάρθους ταραχὰς καθιστάμενος, Σίλων δ' ἐν Ἰουδαίᾳ χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. οὐ μὴν Ἡρώδης ἰσχύος ἠπόρει, προϊόντι δ' αὐτῷ καθ' ἡμέραν ηὔξετο τὰ τῆς δυνάμεως, καὶ πλὴν ὀλίγων, πᾶσα ἡ Γαλιλαία προσέθετο. ⟨292⟩ προύκειτο μὲν οὖν τὸ ἀναγκαιότατον ἀγώνισμα Μασάδα, καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους ἐκ τῆς πολιορκίας. γίγνεται δ' ἐμπόδιον Ἰόπη· ταύτην γὰρ ἐχρῆν πολεμίαν οὖσαν ἐξελεῖν πρότερον, ὡς μὴ χωροῦντος ἐπὶ Ἱεροσολύμων κατὰ νώτου τι τοῖς ἐχθροῖς ἔρυμα καταλείποιτο. συνῆπτε δὲ καὶ Σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών. ὡς δὲ προσέκειντο Ἰουδαῖοι διώκοντες, ἐπὶ τούτους Ἡρώδης ἐκδραμὼν μετ' ὀλίγου στίφους τρέπεται ταχέως, καὶ Σίλωνα διασώζει κακῶς ἀμυνόμενον.

4 ⟨293⟩ ἔπειτα Ἰόπην ἑλὼν πρὸς τὴν Μασάδαν ῥυσό-

§ 290 = Ant. Iud. XIV 394. § 293 = Ant. Iud. XIV 398.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

μένων, ἐκίνει τε τὸ στρατόπεδον καὶ ἀναχωρεῖν ἐπειρᾶτο. ⟨298⟩ Ἡρώδης δ' ἐντυγχάνων τοῖς θ' ὑπὸ τὸν Σίλωνα ἡγεμόσι καὶ κατὰ πλῆθος τοῖς στρατιώταις, ἐδεῖτο μὴ καταλιπεῖν αὐτὸν ὑπό τε Καίσαρος καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμφθέντα· λύσειν γὰρ αὐθημερὸν αὐτῶν τὰς ἀπορίας. ⟨299⟩ καὶ μετὰ τὴν δέησιν εὐθέως ὁρμήσας αὐτὸς εἰς τὴν χώραν, τοσαύτην αὐτοῖς ἐπιτηδείων ἀφθονίαν ἐκόμισεν ὡς πάσας ἀποκόψαι τὰς Σίλωνος προφάσεις. εἵς τε τὰς ἑξῆς ἡμέρας μὴ διαλιπεῖν τὴν χορηγίαν προνοούμενος, ἐπέστελλε τοῖς περὶ Σαμάρειαν (φκείωτο δ' ἡ πόλις αὐτῷ) σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα κατάγειν εἰς Ἰεριχοῦντα. ⟨300⟩ ταῦτ' ἀκούσας Ἀντίγονος διέπεμψε περὶ τὴν χώραν, εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων. οἳ δ' ὑπήκουον, καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὲρ τὴν Ἰεριχοῦντα συνηθροίσθη· διεκαθέζοντο δ' ἐπὶ τῶν ὀρῶν παραφυλάττοντες τοὺς τἀπιτήδεια κομίζοντας. ⟨301⟩ οὐ μὴν Ἡρώδης ἠρέμει, δέκα δὲ σπείρας ἀναλαβών, ὧν πέντε μὲν Ῥωμαϊκαὶ πέντε δ' Ἰουδαίων ἦσαν, ἔχουσαι καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἰεριχοῦντα παραγίγνεται. καὶ τὴν μὲν πόλιν καταλελειμμένην εὑρίσκει, πεντακοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς. ⟨302⟩ αὐτοὺς μὲν οὖν ἀπολύει λαβών· Ῥωμαῖοι δ' εἰσπεσόντες τὸ λοιπὸν ἄστυ διήρπασαν, πλήρεις καταλαμβάνοντες τὰς οἰκίας παντοίων χειμηλίων. Ἰεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμεριοῦσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. ἐπέτυχε δὲ

§ 302 = Ant. Iud. XIV 411.

καὶ Ἀντίγονος παρὰ τῆς Σίλωνος δωροδοκίας ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον.

⟨303⟩ καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον ἀνει- 16
μένοι τῶν ὅπλων, Ἡρώδης δ' οὐκ ἠρέμει, ἀλλὰ τὴν μὲν Ἰδουμαίαν δισχιλίοις πεζοῖς καὶ τετρακοσίοις ἱππεῦσι διελάμβανε, πέμψας τὸν ἀδελφὸν Ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς Ἀντιγόνου· αὐτὸς δὲ τὴν μητέρα, καὶ ὅσους ἐκ Μασάδας οἰκείους ἐξήγαγε, μεταγαγὼν εἰς Σαμάρειαν καὶ καταστησάμενος ἀσφαλῶς, ᾔει τὰ λοιπὰ τῆς Γαλιλαίας καταστρεψόμενος καὶ τὰς Ἀντιγόνου φρουρὰς ἐξελάσων.

⟨304⟩ πρὸς δὲ τὴν Σέπφωριν ἐν νιφετῷ σφοδρο- 2
τάτῳ διανύσας ἀκονιτὶ παραλαμβάνει τὴν πόλιν, πρὸ τῆς ἐφόδου τῶν φυλάκων ἐκφυγόντων. ἔνθα τοὺς ἑπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβών (πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων) ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο λῃστάς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες οὐκ ἐλάττω κακὰ πολέμου διετίθεσαν τοὺς ἐπιχωρίους. ⟨305⟩ προπέμψας δὲ πεζῶν τρία τέλη καὶ μίαν ἴλην ἱππέων πρὸς Ἄρβηλα κώμην, αὐτὸς μετὰ τετταράκονθ' ἡμέρας ἐπῆλθε μετὰ τῆς λοιπῆς δυνάμεως. οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων, τὴν μὲν ἐμπειρίαν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος λῃστρικόν. ⟨306⟩ συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν Ἡρώδου τρέπονται. περιελθὼν δὲ ταχέως Ἡρώδης ἐκ τοῦ καθ' ἑαυτὸν δεξιοῦ προσεβοήθει, καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς, τοῖς δὲ διώκουσιν ἐμπίπτων ἀνέκοπτε τὴν ὁρμήν

§ 306 = Ant. Iud. XIV 416.

μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες ἐκ
κλιναν.

3 ⟨307⟩ ὁ δ' ἔως Ἰορδάνου κτείνων εἴπετο, καὶ κα
μὲν αὐτῶν μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τ
ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν Γαλιλαίαν κε
θάρθαι φόβων, πλὴν καθ' ὅσον οἱ τοῖς σπηλαίοις
φωλεύοντες ὑπελείποντο, κἀπὶ τούτους ἔδει διατριβ
⟨308⟩ διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τ
πεπονημένων ἐπικαρπίας ἀπεδίδου, διανέμων ἑκάσ
δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου, καὶ τοῖς ἡ
μόσι πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον στα
μούς. Φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελ
τῆς τ' ἀγορᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν καὶ τειχίζ
Ἀλεξάνδρειον. κἀκεῖνος ἀμφοτέρων ἐπεμελήθη.

4 ⟨309⟩ ἐν δὲ τούτῳ περὶ μὲν Ἀθήνας διῆγεν Ἀ
τώνιος, Ὀκτάβιος δ' ἐπὶ τὸν πρὸς Πάρθους πόλεμ
Σίλωνά τε καὶ Ἡρώδην μετεπέμπετο, καταστήσασθ
πρότερον ἐπιστέλλων τὰ περὶ Ἰουδαίαν. Ἡρώδης
άσμένως Σίλωνα πρὸς Ὀκτάβιον ἀπολύσας, αὐτὸς ἐ
τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. ⟨310⟩ τὰ
σπήλαια ταῦτα πρὸς ἀποκρήμνοις ὄρεσιν ἦν, οὐδ
μόθεν προσιτά, πλαγίας δ' ἀνόδους μόνον ἔχον
στενοτάτας· ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κα
τεινεν εἰς βαθυτάτας φάραγγας, ὄρθιος ἐπιρρέπου
ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μ
ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τὸ τελευταί
δ' ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. ⟨311⟩ τοὺς γα
ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις·
δ' ἀπέσφαττόν τ' αὐτοὺς σὺν γενεαῖς, καὶ πῦρ ἐν
σαν τοῖς ἀμυνομένοις. βουληθεὶς δ' ἐξ αὐτῶν τ
περισῶσαί τινας Ἡρώδης ἐκήρυξεν ἀποχωρεῖν πρ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

〈319〉 ὑποκρινόμενος δὲ φιλίαν κατάσκοπος ἦει τῶν
Ἀντιγόνου πραγμάτων, Ἡρώδῃ μὴ πεισθεὶς ἀποτρέποντι.
προαισθόμενος δ' αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος τήν
τε πόλιν ἀπέκλεισε καὶ ἀπὸ τῶν τειχῶν ὡς πολέμιον
ἀμύνατο, μέχρι αἰδούμενος Μαχαιρᾶς εἰς Ἀμμαοῦντα
πρὸς Ἡρώδην ἐχώρει, καὶ πρὸς τὴν διαμαρτίαν τεθυ-
μωμένος ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀνῄρει, μηδε-
μίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντι-
γονείοις χρώμενος ἅπασιν.

7 〈320〉 ἐφ' οἷς χαλεπήνας Ἡρώδης ὥρμησε μὲν ἀμύ-
νασθαι Μαχαιρᾶν ὡς πολέμιον, κρατήσας δὲ τῆς ὀργῆς
ἤλαυνε πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ
παρανομίας. ὃ δ' ἐν διαλογισμῷ τῶν ἡμαρτημένων
γενόμενος ταχέως μεταδιώκει τε τὸν βασιλέα καὶ πολλὰ
δεηθεὶς ἑαυτῷ διαλλάττει. 〈321〉 οὐ μὴν Ἡρώδης
ἐπαύσατο τῆς πρὸς Ἀντώνιον ὁρμῆς· ἀκηκοὼς δ' αὐτὸν
μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα Σαμοσάτοις
(πόλις δ' ἐστὶν Εὐφράτου πλησίον καρτερά) θᾶττον
ἠπείγετο, τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρός τ' ἐπίδει-
ξιν ἀνδρείας καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν Ἀντώνιον.
〈322〉 γίγνεται γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πο-

§ 320 = Ant. Iud. XIV 439.

λιορκίας, πολλοὺς μὲν τῶν βαρβάρων ἀποκτείνας, πολλὴν δ' ἀποτεμόμενος λείαν· ὥστε τὸν μὲν Ἀντώνιον θαυμάζοντα καὶ πάλαι τῆς ἀρετῆς αὐτόν, τότε μᾶλλον οὕτως ἔχειν, καὶ πολὺ προσθεῖναι ταῖς τ' ἄλλαις τιμαῖς αὐτοῦ καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν, Ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι τὰ Σαμόσατα παραδοῦναι.

〈323〉 κἀν τούτῳ θραύεται τὰ κατὰ τὴν Ἰουδαίαν 17
Ἡρώδου πράγματα. καταλελοίπει μὲν γὰρ Ἰώσηπον
τὸν ἀδελφὸν ἐπὶ τῶν ὅλων, παραγγείλας μηδὲν μέχρι
τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς Ἀντίγονον·
οὐ γὰρ δὴ βέβαιον εἶναι Μαχαιρᾶν σύμμαχον ἐξ ὧν
ἔθρασεν· ὃ δ' ὡς ἤκουσεν ὄντα πορρωτάτω τὸν ἀδελ-
φόν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ Ἱεριχοῦντος
ἠφόρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψε Μαχαιρᾶς.
ἧμι δὲ τὸν σῖτον ἁρπάσων ἐν ἀκμῇ τοῦ θέρους.
〈322〉 ἐπιθεμένων δ' ἐν τοῖς ὄρεσι καὶ ταῖς δυσχω-
ρίαις τῶν ἐναντίων αὐτός τε θνήσκει, μάλα γενναῖος
ἐν τῇ μάχῃ φανείς, καὶ τὸ Ῥωμαϊκὸν πᾶν διαφθείρεται.
νεοσύλλεκτοι γὰρ ἐκ τῆς Συρίας ἦσαν αἱ σπεῖραι,
καὶ οὐδὲν αὐταῖς ἐνεκέκρατο τῶν πάλαι στρατιωτῶν
καλουμένων, ἐπαμύνειν τοῖς ἀπείροις πολέμου δυνά-
μενον.

〈325〉 Ἀντιγόνῳ δ' οὐκ ἀπέχρησεν ἡ νίκη, προῆλθε 2
δ' εἰς τοσοῦτον ὀργῆς ὥστε καὶ νεκρὸν αἰκίσασθαι
τὸν Ἰώσηπον· κρατήσας γοῦν τῶν σωμάτων ἀποτέμνει
τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον
αὐτῆς Φερώρα τἀδελφοῦ διδόντος. 〈326〉 τὰ δὲ τῆς
Γαλιλαίας μετὰ τὴν Ἀντιγόνου νίκην ἐνεωτερίσθη
πρὸς τοσοῦτον ὥστε τοὺς τὰ Ἡρώδου φρονοῦντας τῶν

§ 323 = Ant. Iud. XIV 448. § 325 = Ant. Iud. XIV 450.

δυνατῶν προαγαγόντες εἰς τὴν λίμνην κατέδυσαν οἱ προσέχοντες Ἀντιγόνῳ. μετεβάλλετο δὲ πολλὰ καὶ τῆς Ἰδουμαίας, ἔνθα Μαχαιρᾶς ἀνετείχιξέ τι τῶν ἐρυμάτων· Γιτθᾶ καλεῖται. τούτων δ' οὐδέν πω πέπυστο Ἡρῴδης. ⟨327⟩ μετὰ γὰρ τὴν Σαμωσάτων ἅλωσιν Ἀντώνιος μὲν καταστήσας ἐπὶ τῆς Συρίας Σόσσιον, καὶ προστάξας Ἡρῴδῃ βοηθεῖν ἐπ' Ἀντίγονον, αὐτὸς εἰς Αἴγυπτον ἀνεχώρησε, Σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς Ἰουδαίαν Ἡρῴδῃ συμμαχῶν, αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν. 3 ⟨328⟩ ὄντι δ' Ἡρῴδῃ κατὰ τὴν πρὸς Ἀντιοχείᾳ Δάφνην ὄνειροι σαφεῖς τὸν τἀδελφοῦ θάνατον προσημαίνουσι, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης εἰσῆσαν ἄγγελοι τῆς συμφορᾶς. ὃ δ' ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλέον δὲ τοῦ πένθους ὑπερθέμενος, ἐπὶ τοὺς ἐχθροὺς ἠπείγετο. ⟨329⟩ ποιούμενος δὲ τὴν πορείαν ὑπὲρ δύναμιν, καὶ διανύσας ἐπὶ τὸν Λίβανον, ὀκτακοσίους μὲν τῶν περὶ τὸ ὄρος προσλαμβάνει συμμάχους, Ῥωμαίων δ' ἓν τάγμα ταύτῃ συνῆψε. μεθ' ὧν οὐ περιμείνας ἡμέραν εἰς τὴν Γαλιλαίαν ἐνέβαλε, τούς τε πολεμίους ὑπαντιάσαντας καὶ δ καταλελοίπεσαν χωρίον τρέπεται. ⟨330⟩ καὶ προσέβαλλε μὲν συνεχῶς τῷ φρουρίῳ, πρὶν δ' ἑλεῖν, χειμῶνι βιασθεὶς χαλεπωτάτῳ ταῖς πλησίον ἐνστρατοπεδεύεται κώμαις. ἐπεὶ δ' αὐτῷ μετ' ὀλίγας ἡμέρας καὶ τὸ δεύτερον παρ' Ἀντωνίου τάγμα συνέμιξε, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι διὰ νυκτὸς ἐξέλιπον τὸ ἔρυμα- 4 ⟨331⟩ καὶ τὸ λοιπὸν ἦει διὰ Ἰεριχοῦντος, σπεύδων ὡς τάχιστα τοὺς τἀδελφοῦ φονεῖς μετελθεῖν. ἔνθα δὴ καὶ δαιμόνιόν τι αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ'

§ 331 — Ant. Iud. XIV 454.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τῆς παρατάξεως τὰ μὲν ἄλλα μέρη πρὸς ὀλίγον ἀν
τέσχεν, Ἡρώδης δὲ κατὰ μῆνιν τοῦ φονευθέντος ἀδελ
φοῦ παραβαλλόμενος, ὡς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ
φόνου, ταχέως τῶν καθ' ἑαυτὸν ἐκράτει, καὶ μετ
ἐκείνους ἐπὶ τὸ συνεστὸς ἀεὶ τρεπόμενος ἄπαντα
διώκει. 〈337〉 φόνος τ' ἦν πολύς, τῶν μὲν εἰς τὴν
κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμηντο, τοῦ δὲ προσ
κειμένου τοῖς ὑστάτοις καὶ κτείνοντος ἀπείρους. συν
εισπίπτει δὲ τοῖς πολεμίοις εἴσω, καὶ πᾶσα μὲν ὁπλι
τῶν οἰκία νένακτο, τὰ τέγη δ' ἦν ὕπερθεν ἀμυνομένων
κατάπλεα. 〈338〉 κἀπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς
οἰκήσεις σπαράττων εἶλκε τοὺς ἔνδοθεν, καὶ τοῖς μὲν
πολλοῖς ἐπικατασείων τοὺς ὀρόφους ἀθρόους ἀνῄρει,
τοὺς ὑποφεύγοντας δὲ τῶν ἐρειπίων οἱ στρατιῶται
ξιφήρεις ἀνεδέχοντο, καὶ τοσοῦτον ἐσωρεύθη νεκρῶν
πλῆθος ὥστε τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσι
ταύτην τὴν πληγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι· 〈339〉
τὸ γοῦν ἐπισυλλεγόμενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο
τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς φυγὴν διεσκε
δάσθη. κἂν εὐθέως τῇ νίκῃ τεθαρρηκὼς Ἡρώδης ἐπ
Ἱεροσολύμων ἤλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη σφο
δροτάτῳ. τοῦτ' ἐμπόδιον ἐκείνῳ τε παντελοῦς κατορ
θώματος καὶ ἥττης τῷ Ἀντιγόνῳ κατέστη, βουλευο
μένῳ καταλιπεῖν ἤδη τὴν πόλιν.

7 〈340〉 Ἡρώδης δὲ πρὸς ἑσπέραν ἤδη τοὺς φίλους
κεκμηκότας ἐπὶ θεραπείᾳ τοῦ σώματος διαφείς, καὶ
αὐτὸς ὡς ἦν ἔτι θερμὸς ἐκ τῶν ὅπλων λουσόμενος
ἦει στρατιωτικώτερον· εἷς γοῦν αὐτῷ παῖς εἵπετο. καὶ
πρὶν εἰς τὸ βαλανεῖον εἰσελθεῖν, ἐναντίον αὐτοῦ τις
ἐκτρέχει τῶν πολεμίων ξιφήρης, ἔπειτα δεύτερος καὶ

§ 340 = Ant. Iud. XIV 462.

τρίτος καὶ ἕξῃς πλείους. ⟨341⟩ οὗτοι καταπεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισμένοι· τέως δὲ ὑπεπτηχότες καὶ διαλανθάνοντες, ὡς ἐθεάσαντο τὸν βασιλέα, λυθέντες ὑπ' ἐκπλήξεως αὐτὸν μὲν παρέ-
5 τρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς ἐξόδους ἐχώρουν. τῶν μὲν οὖν ἄλλων οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλλῆψόμενος τοὺς ἄνδρας, Ἡρώδῃ δ' ἀπέχρη τὸ μηδὲν παθεῖν, ὥστε διαφεύγουσι πάντες.

⟨342⟩ τῇ δ' ὑστεραίᾳ Πάππον μὲν τὸν Ἀντιγόνου 8
στρατηγὸν καρατομήσας (ἀνῄρητο δ' ἐπὶ τῆς παρατάξεως), πέμπει τὴν κεφαλὴν Φερώρᾳ τἀδελφῷ, ποινὴν τοῦ φονευθέντος αὐτῶν ἀδελφοῦ· καὶ γὰρ οὗτος ἦν ὁ τὸν Ἰώσηπον ἀνελών. ⟨343⟩ λωφήσαντος δὲ τοῦ χειμῶνος ἤλαυνεν ἐπὶ Ἱεροσολύμων, καὶ μέχρι τοῦ
10 τείχους ἀγαγὼν τὴν δύναμιν (συνήγετο δ' αὐτῷ τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀπεδέδεικτο) πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται· ⟨344⟩ ταύτῃ γὰρ ἦν ἐπίμαχον, καθ' ὃ καὶ πρὶν εἶλε Πομπήιος τὴν πόλιν. διελὼν δ' εἰς ἔργα τὴν στρατιὰν καὶ τεμὼν τὰ προάστεια, τρία μὲν ἐγείρειν χώματα, καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύσας, καταλιπὼν τοὺς ἀνυστικωτάτους τῶν ἐπίκουρων ἐπὶ τῶν ἔργων, αὐτὸς εἰς Σαμάρειαν ᾔει, τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου μετιὼν θυγατέρα, καθωμολογημένην, ὡς ἔφαμεν, αὐτῷ, καὶ πάρεργον ποιεῖται τῆς πολιορκίας τὸν γάμον· ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους.

⟨345⟩ γήμας δ' ὑπέστρεψεν ἐπὶ Ἱεροσολύμων μετὰ 9
μείζονος δυνάμεως· συνῆπτε δ' αὐτῷ καὶ Σόσσιος μετὰ πλείστης στρατιᾶς, ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσογείου τὴν πορείαν αὐτὸς

§ 345 = Ant. Iud. XIV 468.

διὰ Φοινίκης ἐποιήσατο. ⟨346⟩ συναθροισθείσης δὲ
τῆς ὅλης δυνάμεως, εἰς ἕνδεκα μὲν τέλη πεζῶν, ἱππεῖ
δ' ἑξακισχιλίους δίχα τῶν ἀπὸ Συρίας συμμάχων, ο
μέρος οὐκ ὀλίγον ἦσαν, καταστρατοπεδεύονται το
βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποιθὼς τοῖς τῆ
συγκλήτου δόγμασι, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο
Σόσσιος δ' Ἀντωνίῳ τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρα
τιὰν Ἡρῴδῃ σύμμαχον.

18 ⟨347⟩ τῶν δ' ἀνὰ τὴν πόλιν Ἰουδαίων τὸ πλῆθο
ποικίλως ἐτετάρακτο. καὶ γὰρ περὶ τὸν ναὸν ἀθρο
ζόμενον τὸ ἀσθενέστερον ἐδαιμόνα καὶ πολλὰ θεσπίζ
στερον πρὸς τοὺς καιροὺς ἐλογοποίει· καὶ τῶν τολ
μηροτέρων κατὰ στῖφος ἦσαν λῃστεῖαι πολύτροπο
μάλιστα τὰ περὶ τὴν πόλιν ἁρπαζόντων, ἐπειδὴ μήθ
ἵπποις μήτ' ἀνδράσιν ὑπελέλειπτο τροφή. ⟨348⟩ τὸ
γε μὴν μαχίμου τὸ εὐτακτότερον ἐτέτακτο πρὸς ἅμυνα
τῆς πολιορκίας, τούς τε χωννύντας εἶργον ἀπὸ το
τείχους, καὶ τοῖς ὀργάνοις ἀντιμηχανώμενον ἀεί τ
κώλυμα καινότερον. ἐν οὐδενὶ δ' οὕτως ὡς ἐν τα
μεταλλείαις περιῆσαν τῶν πολεμίων.

2 ⟨349⟩ τῷ δὲ βασιλεῖ πρὸς μὲν τὰς λῃστείας ἀντε
ενοήθησαν λόχοι, δι' ὧν ἀνέστελλε τὰς διεκδρομά
πρὸς δὲ τὴν τῶν ἐπιτηδείων ἀπορίαν αἱ πόρρωθε
συγκομιδαί. τῶν δὲ μαχομένων περιῆν τῇ Ῥωμαίω
ἐμπειρίᾳ, καίτοι τόλμης οὐδεμίαν καταλειπόντων ὑπε
βολήν. ⟨350⟩ φανερῶς μὲν οὖν οὐ συνερρήγνυντ
τοῖς Ῥωμαίοις ἐπὶ προύπτῳ τῷ θανάτῳ, διὰ δὲ τῶ
ὑπονόμων ἐν μέσοις αὐτοῖς ἐξαπίνης ἐφαίνοντο, κα
πρὶν κατασεισθῆναί τι τοῦ τείχους ἕτερον ἀντωχύρουν
καθόλου τ' εἰπεῖν οὔτε χερσὶν οὔτ' ἐπινοίαις ἔκαμνον

§ 347 — Ant. Iud. XIV 471.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

αὐτῶν ὀφθείη. ⟨355⟩ διεκώλυσε δ' ἤδη καὶ τὰς κατ
τὴν πόλιν ἁρπαγάς, πολλὰ διατεινάμενος πρὸς Σόσ
σιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν τὴν πόλιν Ῥωματο
κενώσαντες καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, κα
ὡς ἐπὶ τοσούτων πολιτῶν φόνῳ βραχὺ καὶ τὴν τῆ
οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνοι. ⟨356⟩ τοι
δ' ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖ
στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανεμεῖ
ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὔτε
τε τὴν λοιπὴν ἐξωνησάμενος πατρίδα, τὰς ὑποσχέσει
ἐπλήρωσε· λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀνα
λόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δ' αὐτὸν ἐδωρή
σατο Σόσσιον, ὡς μηδένα χρημάτων ἀπελθεῖν δεόμε
νον. ⟨357⟩ Σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ
στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων, ἄγων δεσμώτην
Ἀντίγονον Ἀντωνίῳ.

τοῦτον μὲν οὖν, φιλοψυχήσαντα μέχρι ἐσχάτου δυ
ψυχρᾶς ἐλπίδος, ἄξιος τῆς ἀγεννείας πέλεκυς ἐκδέχε
4 ται· ⟨358⟩ βασιλεὺς δ' Ἡρώδης διακρίνας τὸ κατ
τὴν πόλιν πλῆθος, τοὺς μὲν τὰ αὐτοῦ φρονήσαντα
εὐνουστέρους ταῖς τιμαῖς καθίστατο, τοὺς δ' Ἀντι
γονείους ἀνῄρει. καὶ κατὰ σπάνιν ἤδη χρημάτων ὅσο
εἶχε κόσμον κατανομιστεύσας, Ἀντωνίῳ καὶ τοῖς περ
αὐτὸν ἀνέπεμψεν. ⟨359⟩ οὐ μὴν εἰσάπαξ ἐωνήσατ
τὸ μηδὲν παθεῖν· ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρα
ἔρωτι διεφθαρμένος ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας
Κλεοπάτρα δὲ διεξελθοῦσα τὴν γενεὰν τὴν ἑαυτῆς ὡ
μηδένα τῶν ἀφ' αἵματος ὑπολείπεσθαι, ⟨360⟩ τὸ λοι
πὸν περὶ τοὺς ἔξωθεν ἐφόνα, καὶ τοὺς ἐν τέλει Σύρω

§ 355 = Ant. Iud. XIV 484. § 358 = Ant. Iud. XV 9
§ 359 = Ant. Iud. XV 88.

διαβάλλουσα πρὸς τὸν Ἀντώνιον ἀναιρεῖν ἔπειθεν, ὡς ἂν τῶν κτήσεων ἑκάστου ῥᾳδίως γενομένη δεσπότις. ἔτι δ' ἐκτείνουσα τὴν πλεονεξίαν ἐπὶ Ἰουδαίους καὶ Ἄραβας, ὑπειργάζετο τοὺς ἑκατέρων βασιλεῖς Ἡρῴδην καὶ Μάλιχον ἀναιρεθῆναι.

〈361〉 μέχρι γοῦν τῶν προσφαγμάτων ἐπινεύσας Ἀντώνιος τὸ κτεῖναι μὲν ἄνδρας ἀγαθοὺς καὶ βασιλεῖς τηλικούτους ἀνόσιον ἡγεῖτο, τὸ δὲ τούτων ἔγγιον φίλος εἶναι διεκρούσατο. πολλὰ δὲ τῆς χώρας αὐτῶν ἀποτεμόμενος, καὶ δὴ καὶ τὸν ἐν Ἰεριχοῦντι φοινικῶνα, ἐν ᾧ γεννᾶται τὸ βάλσαμον, δίδωσιν αὐτῇ, πόλεις τε, πλὴν Τύρου καὶ Σιδῶνος, τὰς ἐντὸς Ἐλευθέρου ποταμοῦ πάσας. 〈362〉 ὧν γενομένη κυρία, καὶ προπέμψασα μέχρι Εὐφράτου τὸν Ἀντώνιον ἐπιστρατεύοντα Πάρθοις, ἦκεν εἰς Ἰουδαίαν δι' Ἀπαμείας καὶ Δαμασκοῦ. κἀνταῦθα μεγάλαις μὲν αὐτῆς τὴν δυσμένειαν δωρεαῖς Ἡρῴδης ἐκμειλίσσεται, μισθοῦται δὲ καὶ τὰ τῆς βασιλείας ἀπορραγέντα χωρία διακοσίων ταλάντων εἰς ἕκαστον ἐνιαυτόν, προπέμπει δ' αὐτὴν μέχρι Πηλουσίου, πάσῃ θεραπείᾳ καταχρώμενος. 〈363〉 καὶ μετ' οὐ πολὺ παρῆν ἐκ Πάρθων Ἀντώνιος, ἄγων αἰχμάλωτον Ἀρταβάζην τὸν Τιγράνου παῖδα, δῶρον Κλεοπάτρᾳ· μετὰ γὰρ τῶν χρημάτων καὶ τῆς λείας ἁπάσης ὁ Πάρθος εὐθὺς ἐχαρίσθη.

〈364〉 τοῦ δ' Ἀκτιακοῦ πολέμου [συνερρωγότος 19
παρεσκεύαστο μὲν Ἡρῴδης Ἀντωνίῳ συνεξορμᾶν, ὡς ἤδη τῶν τ' ἄλλων τῶν κατὰ τὴν Ἰουδαίαν ἀπηλλαγμένος θορύβων, καὶ κεκρατηκὼς Τρκανίας, ἣ δὴ χωρίον ἡ Ἀντιγόνου κατεῖχεν ἀδελφή. 〈365〉 διεκλείσθη γε μὴν πανούργως ὑπὸ τῆς Κλεοπάτρας συμμετασχεῖν

§ 361 = Ant. Iud. XV 95.

τῶν κινδύνων Ἀντωνίῳ· τοῖς γὰρ βασιλεῦσιν, ὃς
ἔφαμεν, ἐπιβουλεύουσα, πείθει τὸν Ἀντώνιον Ἡρώδη
διαπιστεῦσαι τὸν πρὸς Ἄραβας πόλεμον, ἵν' ἢ κρατη
σαντος Ἀραβίας ἢ κρατηθέντος Ἰουδαίας γένηται δυνά
τις, καὶ θατέρῳ τῶν δυναστῶν καταλύσῃ τὸν ἕτερον.

2 ⟨366⟩ ἔρρεψε μέντοι καθ' Ἡρώδην τὸ βούλευμα
πρῶτον μὲν γὰρ ῥύσια τῶν πολεμίων ἄγων καὶ πολὺ
συγκροτήσας ἱππικὸν ἐπαφίησιν αὐτοῖς περὶ Διόσπολιν
ἐκράτησέ τε καίτοι παρτερῶς ἀντιπαραταξαμένων, πρὸς
δὲ τὴν ἥτταν γίγνεται μέγα κίνημα τῶν Ἀράβων· καὶ
συναθροισθέντες εἰς Κάναθα τῆς Κοίλης Συρίας
ἄπειροι τὸ πλῆθος τοὺς Ἰουδαίους ἔμενον. ⟨367⟩ ἔνθα
μετὰ τῆς δυνάμεως Ἡρώδης ἐπελθὼν ἐπειρᾶτο πρω
μηθέστερον ἀφηγεῖσθαι τοῦ πολέμου, καὶ στρατόπεδον
ἐκέλευσε τειχίζειν. οὐ μὴν ὑπήκουσε τὸ πλῆθος, ἀλλὰ
τῇ προτέρᾳ νίκῃ τεθαρρηκότες ὥρμησαν ἐπὶ τοὺς
Ἄραβας, καὶ πρὸς τὴν πρώτην ἐμβολὴν τραπέντας
ἐδίωκον. ἐπιβουλεύεται δ' Ἡρώδης ἐν τῇ διώξει, τοὺς
ἐκ τῶν Κανάθων ἐπιχωρίους ἀνέντος Ἀθηνίωνος, ὃς
ἦν αὐτῷ τῶν Κλεοπάτρας στρατηγῶν ἀεὶ διάφορος·
⟨368⟩ πρὸς γὰρ τὴν τούτων ἐπίθεσιν ἀναθαρρήσαντες
οἱ Ἄραβες ἐπιστρέφονται, καὶ συνάψαντες τὸ πλῆθος
περὶ πετρώδη καὶ δύσβατα χωρία τρέπονται τοὺς
Ἡρώδου, πλεῖστόν τ' αὐτῶν φόνον εἰργάσαντο. οἱ
δὲ διασωθέντες ἐκ τῆς μάχης εἰς Ὄρμιζα καταφεύγου-
σιν, ὅπου καὶ τὸ στρατόπεδον αὐτῶν περισχόντες
αὐτανδρον εἷλον οἱ Ἄραβες. ⟨369⟩ μετ' οὐ πολὺ δὲ
3 τῆς συμφορᾶς βοήθειαν ἄγων Ἡρώδης παρῆν τῆς
χρείας ὕστερος.

ταύτης τῆς πληγῆς αἴτιον αὐτῷ τὸ τῶν ταξιάρχων

§ 366 — Ant. Iud. XV 112.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τὸ δυστυχεῖν οὔτε τοὐναντίον ἐν ἀνθρώποις β
ον, ἀλλ' ἔστιν ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερ
τύχην. καὶ τοῦτο μάθοιτ' ἂν ἐξ οἰκείων ὑπ
νμάτων. τῇ γοῦν προτέρᾳ μάχῃ κρατούντων ἐκφ
αν ἡμῶν οἱ πολέμιοι, καὶ κατὰ τὸ εἰκὸς νῦν ἀλ
ται κρατήσειν δοκοῦντες. τὸ μὲν γὰρ ἄγαν πεποιθ
ίλακτον, οἱ φόβοι δὲ διδάσκουσι προμήθειαν· ὅσ
ιγε κἀκ τοῦ δεδοικότος ὑμῶν παρίσταται θαρρεῖ
5〉 ὅτε γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος κα
ἐχθρῶν, παρὰ τὴν ἐμὴν γνώμην ἐξορμήσαντε
ρὸν ἔσχεν ἡ Ἀθηνίωνος ἐνέδρα· νυνὶ δ' ὁ ὄκνο
ὸν καὶ τὸ δοκοῦν ἄθυμον ἀσφάλειαν ἐμοὶ νίκη
υᾶται. 〈376〉 χρὴ μέντοι μέχρι τοῦ μέλλειν οὕτω
ν, ἐν δὲ τοῖς ἔργοις ἐγεῖραι τὰ φρονήματα κ
αι τοὺς ἀσεβεστάτους ὡς οὔτ' ἀνθρώπειόν τι κ
οὔτε δαιμόνιόν ποτε ταπεινώσει τὴν Ἰουδαίω
ραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν, οὐδ
ιόψεταί τις Ἄραβα τῶν ἑαυτοῦ ἀγαθῶν δεσπότη
όμενον, ὃν παρ' ὀλίγον πολλάκις αἰχμάλωτον ἔλαβε
7〉 μηδ' ὑμᾶς ταραττέτω τὰ τῶν ἀψύχων κινήματα
' ὑπολαμβάνετε τὸν σεισμὸν ἑτέρας συμφορᾶς ἔτι
γεγονέναι σημεῖον· φυσικὰ γὰρ τὰ τῶν στοιχείω
η, καὶ οὐδὲν ἀνθρώποις πλέον ἢ τὴν ἐν αὐτοῖ
βην ἐπιφέρεται. λοιμοῦ μὲν γὰρ καὶ λιμοῦ κα
χθονίων βρασμῶν προγένοιτ' ἄν τι σημεῖο
χύτερον· αὐτὰ δὲ ταῦτα περιγραφὴν ἔχει τὸ μέγ
. ἐπεὶ τί δύναται τοῦ σεισμοῦ μεῖζον ἡμᾶς βλάψα
κρατήσας ὁ πόλεμος; 〈378〉 τέρας μέντοι μέγιστο
σεως γέγονε τοῖς ἐχθροῖς, οὐκ αὐτομάτως οὐδ
χειρὸς ἀλλοτρίας, οἳ πρέσβεις ἡμετέρους παρὰ τὸ
των ἀνθρώπων νόμον ὡμῶς ἀπέκτειναν, καὶ τοιαῦτ

τῷ θεῷ θύματα περὶ τοῦ πολέμου κατέστεψαν. ἀλλ' οὐ διαφεύξονται τὸν μέγαν ὀφθαλμὸν αὐτοῦ καὶ τὴν ἀνίκητον δεξιάν, δώσουσι δ' ἡμῖν αὐτίκα δίκας, ἄν τι τοῦ πατρίου φρονήματος ἕνεκεν σπεύσαντες τιμωροὶ τῶν παρεσπονδημένων ἀναφανῶμεν. ⟨379⟩ ἴτω τις οὐχ ὑπὲρ γυναικὸς οὐδὲ τέκνων οὐδ' ὑπὲρ κινδυνευούσης πατρίδος, ἀλλ' ὑπὲρ τῶν πρέσβεων ἀμυνόμενος. ἐκεῖνοι στρατηγήσουσι τοῦ πολέμου τῶν ζώντων ἡμῶν ἄμεινον. προκινδυνεύσω δὲ κἀγὼ χρώμενος ὑμῖν πειθηνίοις· εὖ γὰρ ἴστε τὴν ἑαυτῶν ἀνδρείαν ἀνυπόστατον, ἐὰν μὴ προπετείᾳ τινὶ βλαβῆτε.'

⟨380⟩ τούτοις παραχρησάμενος τὸν στρατόν, ὡς ἑώρα προθύμους, ἔθυε τῷ θεῷ καὶ μετὰ τὴν θυσίαν διέβαινε τὸν Ἰορδάνην ποταμὸν μετὰ τῆς δυνάμεως. στρατοπεδευσάμενος δὲ περὶ Φιλαδέλφειαν, ἐγγὺς τῶν πολεμίων, περὶ τοῦ μεταξὺ φρουρίου πρὸς αὐτοὺς προβολίζετο, βουλόμενος ἐν τάχει συμβαλεῖν· ἔτυχον γὰρ κἀκεῖνοί τινας προπεπομφότες τοὺς καταληψομένους τὸ ἔρυμα. ⟨381⟩ τούτους μὲν οὖν ἀπεκρούσαντο ταχέως οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως, καὶ τὸν λόφον κατέσχον· αὐτὸς δὲ καθ' ἡμέραν προάγων τὴν δύναμιν μάχην παρέταττε, καὶ προυκαλεῖτο τοὺς Ἄραβας. ὁ δ' οὐδεὶς ἐπεξῄει (δεινὴ γάρ τις αὐτοὺς κατάπληξις εἶχε, καὶ πρὸ τοῦ πλήθους ὁ στρατηγὸς Ἔλθεμος αὖος ἦν τῷ δέει), προσελθὼν ἐσπάραττεν αὐτῶν τὸ χαράκωμα. ⟨382⟩ κἀν τούτῳ συναναγκασθέντες ἐξιάσιν ἐπὶ τὴν μάχην ἄταχτοι καὶ πεφυρμένοι τοῖς ἱππεῦσιν οἱ πεζοί. πλήθει μὲν οὖν τῶν Ἰουδαίων κρεῖττον ἦσαν, ἐλείποντο δὲ ταῖς προθυμίαις· καίτοι διὰ τὴν ἀπόγνωσιν τῆς νίκης ἦσαν καὶ αὐτοὶ παράβολοι.

§ 380 = Ant. Iud. XV 147. § 381 = Ant. Iud. XV 150.

6 ⟨383⟩ διὸ μέχρι μὲν ἀντεῖχον, οὐ πολὺς ἦν αὐτῶν φόνος· ὡς δ' ὑπέδειξαν αὑτῶν τὰ νῶτα, πολλοὶ μὲν ὑπὸ τῶν Ἰουδαίων πολλοὶ δ' ὑπὸ σφῶν αὐτῶν συμπατούμενοι διεφθείροντο. πεντακισχίλιοι γοῦν ἔπεσον ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆθος ἔφθη συνωσθὲν εἰς τὸ χαράκωμα. τούτους περισχὼν ἐπολιόρκει· καὶ μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις προκατήπειγεν ἡ δίψα, τῶν ὑδάτων ἐπιλειπόντων. ⟨384⟩ ὑπερηφάνει δὲ πρεσβευομένους ὁ βασιλεύς, καὶ λύτρα διδόντων πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. τοῦ δὲ δίψους ἐκκαίοντος, ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφᾶς αὐτοὺς τοῖς Ἰουδαίοις ἑκόντες, ὡς πέντε μὲν ἡμέρας τετρακισχιλίους δεθῆναι, τῇ δ' ἕκτῃ τὸ λειπόμενον πλῆθος ὑπ' ἀπογνώσεως ἐξελθεῖν ἐπὶ μάχην. οἷς συμβαλὼν Ἡρώδης πάλιν εἰς ἑπτακισχιλίους κτείνει. ⟨385⟩ τηλικαύτῃ δὲ πληγῇ τὴν Ἀραβίαν ἀμυνάμενος καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα προύκοψεν ὥστε καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

20 ⟨386⟩ μεταλαμβάνει δ' αὐτὸν εὐθέως ἡ περὶ τῶν ὅλων πραγμάτων φροντὶς διὰ τὴν πρὸς Ἀντώνιον φιλίαν, Καίσαρος περὶ Ἄκτιον νενικηκότος. παρεῖτο μέντοι δέους πλέον ἢ ἔπασχεν. οὔπω γὰρ ἁλωκέναι Καῖσαρ Ἀντώνιον ἔκρινεν, Ἡρώδου συμμένοντος. ⟨387⟩ ὃ γε μὴν βασιλεὺς δμόσε χωρῆσαι τῷ κινδύνῳ διέγνω· καὶ πλεύσας εἰς Ῥόδον ἔνθα διέτριβε Καῖσαρ, πρόσεισιν αὐτῷ δίχα διαδήματος, τὴν μὲν ἐσθῆτα καὶ τὸ σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα βασιλεύς. μηδὲν γοῦν τῆς ἀληθείας ὑποστειλάμενος ἄντικρυς εἶπεν ⟨388⟩ 'ἐγώ, Καῖσαρ, ὑπ' Ἀντωνίου τῶν Ἰουδαίων βασιλεὺς γενόμενος, ἐν πᾶσιν δμολογῶ γεγονέναι χρήσιμος

§ 387 = Ant. Iud. XV 187.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

περιθεὶς αὐτῷ τὸ διάδημα, δόγματι διεσήμαινε τὴν δωρεάν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τἀνδρὸς ἐφθέγξατο. ὃ δὲ δώροις ἐκμειλιξάμενος αὐτὸν ἐξῃτεῖτό τινα τῶν Ἀντωνίου φίλων Ἀλέξανδρον, ἱκέτην γενόμενον· ἐνίκα δ' ἡ Καίσαρος ὀργή, πολλὰ καὶ χαλεπὰ μεμφομένου τὸν ἐξαιτούμενον, οἷς διεκρούσατο τὴν δέησιν. ⟨394⟩ μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' Αἴγυπτον διὰ Συρίας Καίσαρα παντὶ τῷ βασιλικῷ πλούτῳ δεξάμενος Ἡρῴδης τότε πρῶτον καὶ συνιππάσατο ποιουμένῳ περὶ Πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν, εἰστιάσέ τε σὺν ἅπασι τοῖς φίλοις· μεθ' οὓς καὶ τῇ λοιπῇ στρατιᾷ πρὸς εὐωχίαν πάντα διέδωκε. ⟨395⟩ προυνόησε δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχρι Πηλουσίου παρασχεῖν ὕδωρ ἄφθονον, ἐπανιοῦσί θ' ὁμοίως· οὐδ' ἔστιν ὅ τι τῶν ἐπιτηδείων ἐνεδέησε τῇ δυνάμει. δόξα γοῦν αὐτῷ τε Καίσαρι καὶ τοῖς στρατιώταις παρέστη, πολλῷ βραχυτέραν Ἡρῴδῃ περιεῖναι βασιλείαν πρὸς ἃ παρέσχεν. ⟨396⟩ διὰ τοῦτο, ὡς ἦκεν εἰς Αἴγυπτον, ἤδη Κλεοπάτρας καὶ Ἀντωνίου τεθνεώτων, οὐ μόνον αὐτοῦ ταῖς ἄλλαις τιμαῖς, ἀλλὰ καὶ τῇ βασιλείᾳ προσέθηκε τήν θ' ὑπὸ Κλεοπάτρας ἀποτμηθεῖσαν χώραν καὶ ἔξωθεν Γάδαρα καὶ Ἵππον καὶ Σαμάρειαν, πρὸς δὲ τούτοις τῶν παραλίων Γάζαν καὶ Ἀνθηδόνα καὶ Ἰόπην καὶ Στράτωνος πύργον. ⟨397⟩ ἐδωρήσατο δ' αὐτῷ καὶ πρὸς φυλακὴν τοῦ σώματος τετρακοσίους Γαλάτας, οἳ πρότερον ἐδορυφόρουν Κλεοπάτραν. οὐδὲν δ' οὕτως ἐνῆγεν αὐτὸν εἰς τὰς δωρεὰς ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος.

4 ⟨398⟩ μετὰ δὲ τὴν πρώτην Ἀκτιάδα προστίθησιν αὐτοῦ τῇ βασιλείᾳ τόν τε Τράχωνα καλούμενον καὶ

§ 398 = Ant. Iud. XV 343.

τὴν προσεχῆ Βαταναίαν τε καὶ τὴν Αὐρανῖτιν χώραν ἐξ αἰτίας τοιᾶσδε. Ζηνόδωρος δ τὸν Λυσανίου μεμισθωμένος οἶκον οὐ διέλειπεν ἐπαφιεὶς τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. οἳ δ' ἐπὶ Ὑάρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες ἐδεήθησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι. Καῖσαρ δὲ γνοὺς ἀντιπέστειλεν ἐξαιρεθῆναι τὸ λῃστήριον. ⟨399⟩ *στρατεύσας οὖν Ὑάρρων ἐκάθηρέ τε τῶν ἀνδρῶν τὴν γῆν καὶ ἀφαιρεῖται Ζηνόδωρον, ἣν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκόν, Ἡρῴδῃ δίδωσιν. κατέστησε δ' αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον, ἔτει δεκάτῳ πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξεῖναι δίχα τῆς ἐκείνου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν.* ⟨400⟩ *ἐπεὶ δὲ τελευτᾷ Ζηνόδωρος, προσένειμεν αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ τῆς Γαλιλαίας γῆν ἅπασαν. ὃ δὲ τούτων Ἡρῴδῃ μεῖζον ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίππα δὲ μετὰ Καίσαρα. ἔνθεν ἐπὶ πλεῖστον μὲν εὐδαιμονίας προύκοψεν, εἰς μεῖζον δ' ἐπῆρεν φρόνημα, καὶ τὸ πλέον τῆς μεγαλονοίας ἐξέκλινεν εἰς εὐσέβειαν.*

⟨401⟩ *πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας* 21
αὐτοῦ τε τὸν ναὸν ἐπεσκεύασε, καὶ τὴν περὶ αὐτὸν ἀνετείχισατο χώραν τῆς οὔσης διπλασίαν, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν, ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. τεκμήριον δ' ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον· ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ θεμελίων, τὸ δ' ἐπεσκεύασε πλούτῳ δαψιλεῖ, κατ' οὐδὲν τῶν βασιλείων ἔλαττον· ὃ Ἀντωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν.

§ 401 = Ant. Iud. XV 380.

〈402〉 τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ὀ
μάμενος πόλιν, δύο τοὺς μεγίστους καὶ περικο
τους οἴκους, οἷς οὐδ' ὁ ναός πῃ συνεκρίνετο,
γόρευσεν ἀπὸ τῶν φίλων, τὸν μὲν Καισάρειον
Ἀγρίππειον.

2 〈403〉 ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν
αὐτῶν καὶ τὰς ἐπικλήσεις περιέγραψε, διέβη
ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ
ρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος
δίους εἴκοσι, καὶ καταγαγὼν ἑξακισχιλίους εἰ
οἰκήτορας, γῆν τε τούτοις προσνείμας λιπαρ
κάν μέσῳ τῷ κτίσματι ναόν τ' ἐνιδρυσάμ
Καίσαρι μέγιστον καὶ περὶ αὐτὸν τέμενος ἀ
τριῶν ἡμισυ σταδίων, τὸ ἄστυ Σεβαστὴν ἐπε
ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.

3 〈404〉 ἐπὶ τούτοις δωρησαμένου τοῦ Κ
αὐτὸν ἑτέρας προσθέσει χώρας, ὃ δὲ κἀνταῦ
αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς
νου πηγάς· καλεῖται δὲ Πάνειον ὁ τόπος. 〈40
κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνα
παρὰ δὲ τὴν ὑπόρειον λαγόνα συνηρεφὲς ἄντρο
οἴγει, δι' οὗ βαραθρώδης κρημνὸς εἰς ἀμ
ἀπορρῶγα βαθύνεται, πληθύει θ' ὕδατος ἀσ
καὶ τοῖς καθιμῶσί τι πρὸς ἔρευναν γῆς οὐδὲ
ἐξαρκεῖ. 〈406〉 τοῦ δ' ἄντρου κατὰ τὰς ἔξωθ
ἀνατέλλουσιν αἱ πηγαί· καὶ γένεσις μέν, ἃ
δοκοῦσιν, ἔνθεν Ἰορδάνου, τὸ δ' ἀκριβὲς ἐν τ
δηλώσομεν.

4 〈407〉 ὁ δὲ βασιλεὺς κἀν Ἰεριχοῖ μεταξὺ

§ 402 = Ant. Iud. XV 318. § 403 = Ant. Iud.
§ 404 = Ant. Iud. XV 363.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

καὶ μείζους. ⟨412⟩ ἐπεὶ δ' ἀνεπληρώθη τὸ βάθος, οὕτως ἤδη τὸ ὑπερέχον τοῦ πελάγους τεῖχος ἐπὶ διακοσίους πόδας ηὐρύνετο, ὧν οἱ μὲν ἑκατὸν προδεδόμηντο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος (προκυμία γοῦν ἐκλήθη), τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθέοντι λιθίνῳ τείχει. τοῦτο δὲ πύργοις διείληπται μεγίστοις, ὧν ὁ προύχων καὶ περικαλλέστατος ἀπὸ τοῦ Καίσαρος προ-
7 γόνου Δρούσειον κέκληται. ⟨413⟩ ψαλίδες δὲ πυκναὶ πρὸς καταγωγὴν τῶν ἐνορμιζομένων· καὶ τὸ πρὸ αὐτῶν πᾶν κύκλῳ νάγμα τοῖς ἀποβαίνουσι πλατὺς περίπατος. ὁ δ' εἴσπλους βόρειος (αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ βορέας), κἀπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς ἑκατέρωθεν ὑπεστηριγμένοι κίοσιν, ὧν τοὺς μὲν ἐκ λαιᾶς χειρὸς εἰσπλεόντων πύργος ναστὸς ἀνέχει, τοὺς δ' ἐκ δεξιοῦ δύ' ὀρθοὶ λίθοι συνεξευγμένοι, τοῦ κατὰ θάτερον χείλος πύργου μείζονες. ⟨414⟩ προσεχεῖς δ' οἰκίαι τῷ λιμένι, λευκοῦ καὶ αὐταὶ λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ τοῦ ἄστεος, πρὸς ὃν διάστημα μεμετρημένοι. καὶ τοῦ στόματος ἀντικρὺ ναὸς Καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ μεγέθει διάφορος· ἐν δ' αὐτῷ κολοσσὸς Καίσαρος, οὐκ ἀποδέων τοῦ Ὀλυμπίασι Διός, ᾧ καὶ προσείκασται, Ῥώμης δ' ἴσος Ἥρᾳ τῇ κατ' Ἄργος. ἀνέθηκε δὲ τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοιζομένοις τὸν λιμένα, Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος· Καισάρειαν γοῦν
8 ὠνόμασεν αὐτήν. ⟨415⟩ τά γε μὴν λοιπὰ τῶν ἔργων, ἀμφιθέατρον καὶ θέατρον καὶ ἀγοράν, ἄξια τῆς προσηγορίας ἐνιδρύσατο. καὶ πεντετηρικοὺς ἀγῶνας καταστησάμενος ὁμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καίσαρος, πρῶτος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῆς ἑκατοστῆς

§ 412 — Ant. Iud. XV 335.

ἐνενηκοστῆς δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς καὶ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον.

〈416〉 ἀνακτίσας δὲ καὶ Ἀνθηδόνα τὴν παράλιον πολιν προσηγόρευσεν· τοῦ δ' αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας κἀπὶ τῆς πύλης ἐχάραξε τοὔνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

〈417〉 φιλοπάτωρ γε μήν, εἰ καί τις ἕτερος. καὶ γὰρ τῷ πατρὶ μνημεῖον κατέστησε πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς βασιλείας πεδίῳ κτίσας ποταμοῖς τε καὶ δένδρεσι πλουσίαν ὠνόμασεν Ἀντιπατρίδα. καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος φρούριον ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέθηκε τῇ μητρὶ προσειπὼν Κύπρον, 〈418〉 Φασαήλῳ δὲ τἀδελφῷ τὸν ἐν Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἑξῆς δηλώσομεν. καὶ πόλιν ἄλλην κτίσας κατὰ τὸν ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν Φασαηλίδα ὠνόμασεν.

〈419〉 παραδοὺς δ' αἰῶνι τούς τ' οἰκείους καὶ φίλους, οὐδὲ τῆς αὐτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπιτειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει προσηγόρευσεν Ἡρώδειον ἀφ' ἑαυτοῦ. τὸν δὲ μαστοειδῆ κολωνὸν [illegible] χειροποίητον, ἑξήκοντα σταδίων ἄπωθεν Ἱεροσολύμων, ἐκάλεσε μὲν ὁμοίως, ἐξήσκησε δὲ φιλοτιμότερον. 〈420〉 στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περιέσχεν, ἐπλήρωσε δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπράν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ

§ 416 = Ant. Iud. XVI 136. § 417 = Ant. Iud. XVI 142.
[illegible] = Ant. Iud. XV 323.

θριγκοῖς καὶ στέγαις περικεχύσθαι τὸν πλοῦτον δαψιλῆ. πόρρωθεν δὲ μεγίστοις ἀναλώμασιν ὑδάτων πλῆθος εἰσήγαγε, καὶ βαθμοῖς διακοσίοις λευκοτάτης μαρμάρου τὴν ἄνοδον διέλαβεν· ἦν γὰρ δὴ τὸ γήλοφον ἐπ- εικῶς ὑψηλὸν καὶ πᾶν χειροποίητον. ⟨421⟩ κατεσκεύασε δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασίλεια, τήν τ' ἀποσκευὴν καὶ τοὺς φίλους δέξασθαι δυνάμενα, ὥστε τῷ μὲν πάντ' ἔχειν πόλιν εἶναι δοκεῖν τὸ ἔρυμα, τῇ περιγραφῇ δὲ βασίλειον.

11 ⟨422⟩ τοσαῦτα δ' οὖν κτίσας πλείσταις καὶ τῶν ἔξω πόλεων τὸ μεγαλόψυχον ἐπεδείξατο, Τριπόλει μὲν γὰρ καὶ Δαμασκῷ καὶ Πτολεμαΐδι γυμνάσια, Βύβλῳ δὲ τεῖχος, ἐξέδρας τε καὶ στοὰς καὶ ναοὺς καὶ ἀγορὰς Βηρυτῷ κατασκευάσας καὶ Τύρῳ, Σιδῶνί γε μὴν καὶ Δαμασκῷ θέατρα, Λαοδικεῦσι δὲ τοῖς παραλίοις ὑδάτων εἰσαγωγήν, Ἀσκαλωνίταις δὲ βαλανεῖα καὶ κρήνας πολυτελεῖς, πρὸς δὲ περίστυλα θαυμαστὰ τήν τ' ἐρημίαν καὶ τὸ μέγεθος· εἰσὶ δ' οἷς ἄλση καὶ λειμῶνες ἀνέθηκεν. ⟨423⟩ πολλαὶ δὲ πόλεις, ὥσπερ κοινωνοὶ τῆς βασιλείας, καὶ χώραν ἔλαβον παρ' αὐτοῦ· γυμνασιαρχίαις δ' ἄλλας ἐπετησίοις τε καὶ διηνεκέσιν ἐθωρήσατο προσόδους κατατάξας, ὥσπερ Κῴοις, ἵνα μηδέποτ' ἐκλείπῃ τὸ γέρας. ⟨424⟩ σῖτόν γε μὴν πᾶσιν ἐχορήγησε τοῖς δεομένοις, καὶ τῇ Ῥόδῳ χρήματα μὲν εἰς ναυτικοῦ κατασκευὴν παρέσχε πολλαχοῦ καὶ πολλάκις, ἐμπρησθὲν δὲ τὸ Πύθιον ἰδίοις ἀναλώμασιν ἄμεινον ἀνεδείματο. ⟨425⟩ καὶ τί δεῖ λέγειν τὰς εἰς Λυκίους ἢ Σαμίους δωρεάς, ἢ τὴν δι ὅλης τῆς Ἰωνίας, ἐν οἷς ἐδεήθησαν ἕκαστοι, δαψίλειαν; ἀλλ' Ἀθηναίοις καὶ Λακεδαιμονίοις Νικοπολῖταί τε καὶ τὸ κατὰ Μυσίαν

§ 422 = Ant. Iud. XIV 146. § 425 = Ant. Iud. XVI 17 sq.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

σωματικοῖς προτερήμασιν ἐχρήσατο δεξιᾷ καὶ τύχῃ· καὶ γὰρ σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν παισμάτων οὐκ αὐτὸς αἴτιος ἀλλ' ἢ προδοσία τινῶν ἢ προπέτεια στρατιωτῶν ἐγένετο.

22 ⟨431⟩ τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ τύχη τοῖς κατ' οἶκον ἀνιαροῖς ἐνεμέσησε, καὶ κακοδαιμονίᾳ ἐκ γυναικὸς ἤρξατο, περὶ ἣν μάλιστ' ἐσπούδασεν. ⟨432⟩ ἐπειδὴ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν, ἀποπεμψάμενος ἣν ἰδιώτης ὢν ἔκτο γαμετήν, γένος δ' ἦν ἐξ Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μέν, μάλιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. ⟨433⟩ πρῶτον μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ Μαριάμμης ἐφυγάδευσε τῆς πόλεως, μόνοις ταῖς ἑορταῖς ἐφεὶς κατιέναι. ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανόν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθόντα, δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἠχμαλωτίσατο μὲν Βαρζαφάρνης καταδραμὼν Συρίαν, ἐξῃτήσαντο δὲ καὶ οἰκτον οἱ ὑπὲρ Εὐφράτην δμοεθνεῖς. ⟨434⟩ καὶ εἴ γε τούτοις ἐπείσθη παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡρῴδην, οὐκ ἂν παραπώλετο. δέλεαρ δ' αὐτῷ θανάτου τῆς γυναικὸς ὁ γάμος κατέστη· τούτῳ γὰρ πεποιθὼς καὶ περιττόν τι τῆς πατρίδος ἐφιέμενος ἦκε. παρώξυνε δ' Ἡρῴδην οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπειδὴ τὸ βασιλεύειν ἐπέβαλλεν αὐτῷ.

2 ⟨435⟩ τῶν δ' ἐκ Μαριάμμης πέντε τέκνων αὐτῷ γενομένων δύο μὲν θυγατέρες τρεῖς δ' ἦσαν υἱεῖς· καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμενος τελευτᾷ· δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε, διό

§ 433 — Ant. Iud. XV 14; 184.

τε τὴν μητρῴαν εὐγένειαν καὶ ὅτι βασιλεύοντι γεγόνεσαν αὐτῷ. ⟨436⟩ τὸ δὲ τούτων ἰσχυρότερον, ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρῴδην λαβρότερον, ὡς μηδενὸς τῶν διὰ τὴν στεργομένην ὑπηρῶν αἰσθάνεσθαι. τοσοῦτον γὰρ ἦν μῖσος εἰς αὐτὸν τῆς Μαριάμμης ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. ⟨437⟩ ἔχουσα δὲ τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἰωνάθην. οὐδὲ γὰρ τούτου καίπερ ὄντος παιδὸς ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἐπτακαιδεκέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως, ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι καὶ τῷ βωμῷ προσελθόντι καθ' ἑορτὴν ἄθρουν ἐπεδάκρυσε τὸ πλῆθος. πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἰεριχοῦντα, ἐκεῖ δὲ κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

⟨438⟩ διὰ ταῦθ' Ἡρῴδην μὲν ὠνείδιζεν ἡ Μα- 3
ριάμμη, καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δει-
νῶς ἐξύβριζε λοιδορίαις. ἀλλ' ὃ μὲν πεφίμωτο τοῖς
ἔρωσι, δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις εἰσῄει,
καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρῴδην ἔμελλον,
εἰς μοιχείαν διέβαλλον αὐτήν, ⟨439⟩ ἄλλα τε πολλὰ
πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι, καὶ κατηγοροῦσαι
ὅτι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον
Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δεί-
ξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι
δυναμένῳ. ⟨440⟩ τοῦθ' ὥσπερ σκηπτὸς ἐμπεσὼν
πάραξεν Ἡρῴδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας

§ 437 = Ant. Iud. XV 31. § 438 = Ant. Iud. XV 26.

6 ⟨383⟩ διὸ μέχρι μὲν ἀντεῖχον, οὐ πολὺς ἦν αὐτῶ
φόνος· ὡς δ' ὑπέδειξαν αὑτῶν τὰ νῶτα, πολλοὶ μ
ὑπὸ τῶν Ἰουδαίων πολλοὶ δ' ὑπὸ σφῶν αὐτῶν σι
πατούμενοι διεφθείροντο. πεντακισχίλιοι γοῦν ἔπεσ
ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆθος ἔφθη συνωσθ
εἰς τὸ χαράκωμα. τούτους περισχὼν ἐπολιόρκει· κ
μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις προκατήπειγεν
δίψα, τῶν ὑδάτων ἐπιλειπόντων. ⟨384⟩ ὑπερηφά
δὲ πρεσβευομένους ὁ βασιλεύς, καὶ λύτρα διδόντ
πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. τοῦ δὲ δίψο
ἐκκαίοντος, ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφ
αὐτοὺς τοῖς Ἰουδαίοις ἑκόντες, ὡς πέντε μὲν ἡμέρ
τετρακισχιλίους δεθῆναι, τῇ δ' ἕκτῃ τὸ λειπόμεν
πλῆθος ὑπ' ἀπογνώσεως ἐξελθεῖν ἐπὶ μάχην. οἷς σ
βαλὼν Ἡρώδης πάλιν εἰς ἑπτακισχιλίους κτεί
⟨385⟩ τηλικαύτῃ δὲ πληγῇ τὴν Ἀραβίαν ἀμυνάμε
καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα προύκοψεν ὥ
καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

20 ⟨386⟩ μεταλαμβάνει δ' αὐτὸν εὐθέως ἡ περὶ
ὅλων πραγμάτων φροντὶς διὰ τὴν πρὸς Ἀντώ
φιλίαν, Καίσαρος περὶ Ἄκτιον νενικηκότος. πα
μέντοι δέους πλέον ἢ ἔπασχεν. οὔπω γὰρ ἑαλω
Καῖσαρ Ἀντώνιον ἔκρινεν, Ἡρώδου συμμένοντος. ⟨
ὅ γε μὴν βασιλεὺς ὁμόσε χωρῆσαι τῷ κινδύνῳ δι
καὶ πλεύσας εἰς Ῥόδον ἔνθα διέτριβε Καῖσαρ,
εἰσιν αὐτῷ δίχα διαδήματος, τὴν μὲν ἐσθῆτα
σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα βασιλεύς. μηδὲ
τῆς ἀληθείας ὑποστειλάμενος ἄντικρυς εἶπεν
'ἐγώ, Καῖσαρ, ὑπ' Ἀντωνίου τῶν Ἰουδαίων β
γενόμενος, ἐν πᾶσιν ὁμολογῶ γεγονέναι χ

§ 387 = Ant. Iud. XV 187.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

περιθεὶς αὐτῷ τὸ διάδημα, δόγματι διεσήμαινε τ
δωρεάν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τά
δρὸς ἐφθέγξατο. ὃ δὲ δώροις ἐκμειλιξάμενος αὐτ
ἐξῃτεῖτό τινα τῶν Ἀντωνίου φίλων Ἀλέξανδρον, ἐμέτ
γενόμενον· ἐνίκα δ' ἡ Καίσαρος ὀργή, πολλὰ καὶ χαλε
μεμφομένου τὸν ἐξαιτούμενον, οἷς διεκρούσατο τ
δέησιν. ⟨394⟩ μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' Αἴγύπτ
διὰ Συρίας Καίσαρα παντὶ τῷ βασιλικῷ πλούτῳ δ
ξάμενος Ἡρῴδης τότε πρῶτον καὶ συνιππάσατο ποιο
μένῳ περὶ Πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν, εἰστίά
τε σὺν ἅπασι τοῖς φίλοις· μεθ' οὓς καὶ τῇ λοι
στρατιᾷ πρὸς εὐωχίαν πάντα διέθωκε. ⟨395⟩ πρ
νόησε δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχ
Πηλουσίου παρασχεῖν ὕδωρ ἄφθονον, ἐπανιοῦσί
ὁμοίως· οὐδ' ἔστιν ὅ τι τῶν ἐπιτηδείων ἐνεδέησε
δυνάμει. δόξα γοῦν αὐτῷ τε Καίσαρι καὶ τοῖς στρ
τιώταις παρέστη, πολλῷ βραχυτέραν Ἡρῴδῃ περιεῖν
βασιλείαν πρὸς ἃ παρέσχεν. ⟨396⟩ διὰ τοῦτο,
ἦκεν εἰς Αἴγυπτον, ἤδη Κλεοπάτρας καὶ Ἀντωνί
τεθνεώτων, οὐ μόνον αὐτοῦ ταῖς ἄλλαις τιμαῖς, ἀλ
καὶ τῇ βασιλείᾳ προσέθηκε τήν θ' ὑπὸ Κλεοπάτρ
ἀποτμηθεῖσαν χώραν καὶ ἔξωθεν Γάδαρα καὶ Ἵππ
καὶ Σαμάρειαν, πρὸς δὲ τούτοις τῶν παραλίων Γάζ
καὶ Ἀνθηδόνα καὶ Ἰόπην καὶ Στράτωνος πύργ
⟨397⟩ ἐδωρήσατο δ' αὐτῷ καὶ πρὸς φυλακὴν τοῦ σ
ματος τετρακοσίους Γαλάτας, οἳ πρότερον ἐδορυφόρ
Κλεοπάτραν. οὐδὲν δ' οὕτως ἐνῆγεν αὐτὸν εἰς τ
δωρεὰς ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος.

⟨398⟩ μετὰ δὲ τὴν πρώτην Ἀκτιάδα προστίθη
αὐτοῦ τῇ βασιλείᾳ τόν τε Τράχωνα καλούμενον

§ 398 — Ant. Iud. XV 343.

τὴν προσεχῆ Βαταναίαν τε καὶ τὴν Αὐρανῖτιν χώραν ἐξ αἰτίας τοιᾶσδε. Ζηνόδωρος ὁ τὸν Λυσανίου μεμισθωμένος οἶκον οὐ διέλειπεν ἐπαφιεὶς τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. οἱ δ' ἐπὶ Ὑάρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες ἐδεήθησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι. Καῖσαρ δὲ γνοὺς ἀντιπέστειλεν ἐξαιρεθῆναι τὸ λῃστήριον. 〈399〉 στρατεύσας οὖν Ὑάρρων ἐκάθηρέ τε τῶν ἀνδρῶν τὴν γῆν καὶ ἀφαιρεῖται Ζηνόδωρον, ἣν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκόν, Ἡρῴδῃ δίδωσιν. κατέστησε δ' αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον, ἔτει δεκάτῳ πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξεῖναι δίχα τῆς ἐκείνου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν. 〈400〉 ἐπεὶ δὲ τελευτᾷ Ζηνόδωρος, προσένειμεν αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ τῆς Γαλιλαίας γῆν ἅπασαν. ὃ δὲ τούτων Ἡρῴδῃ μεῖζον ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίππα δὲ μετὰ Καίσαρα. ἔνθεν ἐπὶ πλεῖστον μὲν εὐδαιμονίας προύκοψεν, εἰς μεῖζον δ' ἐξήρθη φρόνημα, καὶ τὸ πλέον τῆς μεγαλονοίας ἐκτείνεν εἰς εὐσέβειαν.

〈401〉 πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας 21
αὐτόν τε τὸν ναὸν ἐπεσκεύασε, καὶ τὴν περὶ αὐτὸν ἀνετείχισατο χώραν τῆς οὔσης διπλασίαν, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν, ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. τεκμήριον δ' ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον· ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ θεμελίων, τὸ δ' ἐπεσκεύασε πλούτῳ δαψιλεῖ, κατ' οὐδὲν τῶν βασιλείων ἔλαττον· ὃ Ἀντωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν.

§ 401 = Ant. Iud. XV 380.

⟨402⟩ τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ἄνω δειμάμενος πόλιν, δύο τοὺς μεγίστους καὶ περικαλλεστάτους οἴκους, οἷς οὐδ' ὁ ναός πῃ συνεκρίνετο, προσηγόρευσεν ἀπὸ τῶν φίλων, τὸν μὲν Καισάρειον τὸν δ' Ἀγρίππειον.

2 ⟨403⟩ ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν μνήμην αὐτῶν καὶ τὰς ἐπικλήσεις περιέγραψε, διέβη δ' εἰς ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ Σαμαρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ σταδίους εἴκοσι, καὶ καταγαγὼν ἑξακισχιλίους εἰς αὐτὴν οἰκήτορας, γῆν τε τούτοις προσνείμας λιπαρωτάτην, κἀν μέσῳ τῷ κτίσματι ναόν τ' ἐνιδρυσάμενος τῷ Καίσαρι μέγιστον καὶ περὶ αὐτὸν τέμενος ἀποδείξας τριῶν ἡμισυ σταδίων, τὸ ἄστυ Σεβαστὴν ἐπεκάλεσεν. ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.

3 ⟨404⟩ ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρος αὐτὸν ἑτέρας προσθέσει χώρας, ὃ δὲ κἀνταῦθα ναὸν αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς Ἰορδάνου πηγάς· καλεῖται δὲ Πάνειον ὁ τόπος. ⟨405⟩ ἔνθα κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνατείνεται, παρὰ δὲ τὴν ὑπόρειον λαγόνα συνηρεφὲς ἄντρον ὑπανοίγει, δι' οὗ βαραθρώδης χρημνὸς εἰς ἀμέτρητον ἀπορρῶγα βαθύνεται, πληθύει θ' ὕδατος ἀσαλεύτου, καὶ τοῖς καθιμῶσί τι πρὸς ἔρευναν γῆς οὐδὲν μῆκος ἐξαρκεῖ. ⟨406⟩ τοῦ δ' ἄντρου κατὰ τὰς ἔξωθεν ῥίζας ἀνατέλλουσιν αἱ πηγαί· καὶ γένεσις μέν, ὡς ἔνιοι δοκοῦσιν, ἔνθεν Ἰορδάνου, τὸ δ' ἀκριβὲς ἐν τοῖς ἑξῆς δηλώσομεν.

4 ⟨407⟩ ὁ δὲ βασιλεὺς κἀν Ἰεριχοῖ μεταξὺ Κύπρου

§ 402 = Ant. Iud. XV 318. § 403 = Ant. Iud. XV 296.
§ 404 = Ant. Iud. XV 363.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

καὶ μείζους. ⟨412⟩ ἐπεὶ δ' ἀνεπληρώθ
οὕτως ἤδη τὸ ὑπερέχον τοῦ πελάγους τεῖ
κοσίους πόδας ηὑρύνετο, ὧν οἱ μὲν ἑκατ
μηντο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος (πρ
ἐκλήθη), τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθ
τείχει. τοῦτο δὲ πύργοις διείληπται μεγι
προύχων καὶ περικαλλέστατος ἀπὸ τοῦ Κι
7 γόνου Δρούσειον κέκληται. ⟨413⟩ ψαλίδε
πρὸς καταγωγὴν τῶν ἐνορμιζομένων· καὶ τ
πᾶν κύκλῳ νάγμα τοῖς ἀποβαίνουσι πλατὺ
δ δ' εἴσπλους βόρειος (αἰθριώτατος γὰρ
τόπῳ βορέας), κἀπὶ τοῦ στόματος κολοσσο
τέρωθεν ὑπεστηριγμένοι κίοσιν, ὧν τοὺς
χειρὸς εἰσπλεόντων πύργος ναστὸς ἀνέχει
δεξιοῦ δύ' ὀρθοὶ λίθοι συνεξευγμένοι, το
τερον χεῖλος πύργου μείζονες. ⟨414⟩ ἡ
οἰκίαι τῷ λιμένι, λευκοῦ καὶ αὐταὶ λίθοι
τείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ τοῦ ἄστε
διάστημα μεμετρημένοι. καὶ τοῦ στόμα
ναὸς Καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ
φορος· ἐν δ' αὐτῷ κολοσσὸς Καίσαρος, ο
τοῦ Ὀλυμπίασι Διός, ᾧ καὶ προσείκαστα
ἴσος Ἥρᾳ τῇ κατ' Ἄργος. ἀνέθηκε δὲ τῇ
χίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοιζομένοις
Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος· Καισ
8 ὠνόμασεν αὐτήν. ⟨415⟩ τά γε μὴν λοιπὰ
ἀμφιθέατρον καὶ θέατρον καὶ ἀγοράν, ἄξιο
γορίας ἐνιδρύσατο. καὶ πεντετηρικοὺς ἀ
στησάμενος δμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καί
τος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῇ

7 — Ant. Iud. XV 385.

ἑνενηκοστῆς δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς καὶ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον.

(416) ἀναστίσας δὲ καὶ Ἀνθηδόνα τὴν παράλιον καταρριφθεῖσαν ἐν πολέμοις, Ἀγρίππειον προσηγόρευσεν· τοῦ δ' αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας κἀπὶ τῆς κύλης ἐχάραξε τοὔνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

(417) φιλοπάτωρ γε μήν, εἰ καί τις ἕτερος. καὶ 9
τῷ πατρὶ μνημεῖον κατέστησε πόλιν, ἣν ἐν τῷ μεσογείῳ τῆς βασιλείας πεδίῳ κτίσας ποταμοῖς τε καὶ φυτείαις πλουσίαν ὠνόμασεν Ἀντιπατρίδα. καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος φρούριον ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέθηκε τῇ μητρὶ προσειπὼν Κύπρον, (418) Φασαήλῳ δὲ τἀδελφῷ τὸν ἐν Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἑξῆς δηλώσομεν. καὶ πόλιν ἕλλην κτίσας κατὰ τὸν ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν Φασαηλίδα ὠνόμασεν.

(419) παραδοὺς δ' αἰῶνι τούς τ' οἰκείους καὶ φί- 10
λους, οὐδὲ τῆς αὐτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπιτειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει προσηγόρευσεν Ἡρώδειον ἀφ' ἑαυτοῦ. τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χειροποίητον, ἑξήκοντα σταδίων ἄπωθεν Ἱεροσολύμων, ἐκάλεσε μὲν ὁμοίως, ἐξήσκησε δὲ φιλοτιμότερον. (420) στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περισχεν, ἐπλήρωσε δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπράν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ

§ 416 = Ant. Iud. XVI 136. § 417 = Ant. Iud. XVI 142.
§ 418 = Ant. Iud. XV 323.

⟨402⟩ τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ἄνω θεω
μάμενος πόλιν, δύο τοὺς μεγίστους καὶ περικαλλεστά
τους οἴκους, οἷς οὐδ' ὁ ναός πῃ συνεκρίνετο, προση
γόρευσεν ἀπὸ τῶν φίλων, τὸν μὲν Καισάρειον τὸν δ'
Ἀγρίππειον.

2 ⟨403⟩ ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν μνήμη
αὐτῶν καὶ τὰς ἐπικλήσεις περιέγραψε, διέβη δ' ε
ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ Σαμα
ρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ στα
δίους εἴκοσι, καὶ καταγαγὼν ἑξακισχιλίους εἰς αὐτὴ
οἰκήτορας, γῆν τε τούτοις προσνείμας λιπαρωτάτην
κἀν μέσῳ τῷ κτίσματι ναόν τ' ἐνιδρυσάμενος τ
Καίσαρι μέγιστον καὶ περὶ αὐτὸν τέμενος ἀποδείξα
τριῶν ἥμισυ σταδίων, τὸ ἄστυ Σεβαστὴν ἐπεκάλεσε
ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.

3 ⟨404⟩ ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρο
αὐτὸν ἑτέρας προσθέσει χώρας, ὃ δὲ κἀνταῦθα νεὼ
αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς Ἰορδά
νου πηγάς· καλεῖται δὲ Πάνειον ὁ τόπος. ⟨405⟩ ἔνθ
κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνατείνεται
παρὰ δὲ τὴν ὑπόρειον λαγόνα συννηρεφὲς ἄντρον ὑπαι
οἴγει, δι' οὗ βαραθρώδης χρημνὸς εἰς ἀμέτρητο
ἀπορρῶγα βαθύνεται, πληθύει θ' ὕδατος ἀσαλεύτου
καὶ τοῖς καθιμῶσί τι πρὸς ἔρευναν γῆς οὐδὲν μῆκο
ἔξαρκεῖ. ⟨406⟩ τοῦ δ' ἄντρου κατὰ τὰς ἔξωθεν φάτ
ἀνατέλλουσιν αἱ πηγαί· καὶ γένεσις μέν, ὡς ἔνι
δοκοῦσιν, ἔνθεν Ἰορδάνου, τὸ δ' ἀκριβὲς ἐν τοῖς ἑξῆ
δηλώσομεν.

4 ⟨407⟩ ὁ δὲ βασιλεὺς κἀν Ἰεριχοῖ μεταξὺ Κύπρο

§ 402 = Ant. Iud. XV 318. § 403 = Ant. Iud. XV 29
§ 404 = Ant. Iud. XV 363.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ὁ δ' εἴσπλους βόρειος (αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ βορέας), κἀπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς ἑκατέρωθεν ὑπεστηριγμένοι κίοσιν, ὧν τοὺς μὲν ἐκ λαιᾶς χειρὸς εἰσπλεόντων πύργος ναστὸς ἀνέχει, τοὺς δ' ἐκ δεξιοῦ δύ' ὀρθοὶ λίθοι συνεξευγμένοι, τοῦ κατὰ θάτερον χεῖλος πύργου μείζονες. ⟨414⟩ προσεχεῖς δ' οἰκίαι τῷ λιμένι, λευκοῦ καὶ αὐταὶ λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ τοῦ ἄστεος, πρὸς ἓν διάστημα μεμετρημένοι. καὶ τοῦ στόματος ἀντικρὺ ναὸς Καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ μεγέθει διάφορος· ἐν δ' αὐτῷ κολοσσὸς Καίσαρος, οὐκ ἀποδέων τοῦ Ὀλυμπίασι Διός, ᾧ καὶ προσείκασται, Ῥώμης δ' ἴσος Ἥρᾳ τῇ κατ' Ἄργος. ἀνέθηκε δὲ τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοιζομένοις τὸν λιμένα, Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος· Καισάρειαν γοῦν 8 ὠνόμασεν αὐτήν. ⟨415⟩ τά γε μὴν λοιπὰ τῶν ἔργων, ἀμφιθέατρον καὶ θέατρον καὶ ἀγοράν, ἄξια τῆς προσηγορίας ἐνιδρύσατο. καὶ πεντετηρικοὺς ἀγῶνας καταστησάμενος δμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καίσαρος, πρῶτος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῆς ἑκατοστῆς

§ 412 = Ant. Iud. XV 335.

ἑνενηκοστῆς δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς καὶ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον.

〈416〉 ἀνακτίσας δὲ καὶ Ἀνθηδόνα τὴν παράλιον καταρριφθεῖσαν ἐν πολέμοις, Ἀγρίππειον προσηγόρευσεν· τοῦ δ' αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας κἀπὶ τῆς πύλης ἐχάραξε τοὔνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

〈417〉 φιλοπάτωρ γε μήν, εἰ καί τις ἕτερος. καὶ γὰρ τῷ πατρὶ μνημεῖον κατέστησε πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς βασιλείας πεδίῳ κτίσας ποταμοῖς τε καὶ δένδρεσι πλουσίαν ὠνόμασεν Ἀντιπατρίδα. καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος φρούριον ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέθηκε τῇ μητρὶ προσειπὼν Κύπρον,
〈418〉 Φασαήλῳ δὲ τἀδελφῷ τὸν ἐν Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἑξῆς δηλώσομεν. καὶ πόλιν ἑλλὴν κτίσας κατὰ τὸν ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν Φασαηλίδα ὠνόμασεν.

〈419〉 παραδοὺς δ' αἰῶνι τούς τ' οἰκείους καὶ φίλους, οὐδὲ τῆς αὐτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπιτειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει προσηγόρευσεν Ἡρώδειον ἀφ' ἑαυτοῦ. τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χειροποίητον, ἑξήκοντα σταδίων ἄπωθεν Ἱεροσολύμων, ἐκάλεσε μὲν ὁμοίως, ἐξήσκησε δὲ φιλοτιμότερον.
〈420〉 στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περιέσχεν, ἐπλήρωσε δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπράν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ

§ 416 = Ant. Iud. XVI 136. § 417 = Ant. Iud. XVI 142.
§ 419 = Ant. Iud. XV 323.

θριγκοῖς καὶ στέγαις περικεχύσθαι τὸν πλοῦτον δαψιλ
πόρρωθεν δὲ μεγίστοις ἀναλώμασιν ὑδάτων πλῆθ
εἰσήγαγε, καὶ βαθμοῖς διακοσίοις λευκοτάτης μαρμ
ρου τὴν ἄνοδον διέλαβεν· ἦν γὰρ δὴ τὸ γήλοφον ἐπ
εικῶς ὑψηλὸν καὶ πᾶν χειροποίητον. ⟨421⟩ κατ
σκεύασε δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασίλεια, τὴν
ἀποσκευὴν καὶ τοὺς φίλους δέξασθαι δυνάμενα, ὥσ
τῷ μὲν πάντ' ἔχειν πόλιν εἶναι δοκεῖν τὸ ἔρυμα,
περιγραφῇ δὲ βασίλειον.

11 ⟨422⟩ τοσαῦτα δ' οὖν κτίσας πλείσταις καὶ τ
ἔξω πόλεων τὸ μεγαλόψυχον ἐπεδείξατο, Τριπόλει μ
γὰρ καὶ Δαμασκῷ καὶ Πτολεμαΐδι γυμνάσια, Βύβ
δὲ τεῖχος, ἐξέδρας τε καὶ στοὰς καὶ ναοὺς καὶ ἀγορ
Βηρυτῷ κατασκευάσας καὶ Τύρῳ, Σιδῶνί γε μὴν κ
Δαμασκῷ θέατρα, Λαοδικεῦσι δὲ τοῖς παραλίοις ὑδ
των εἰσαγωγήν, Ἀσκαλωνίταις δὲ βαλανεῖα καὶ κρήν
πολυτελεῖς, πρὸς δὲ περίστυλα θαυμαστὰ τήν τ' ἐργ
σίαν καὶ τὸ μέγεθος· εἰσὶ δ' οἷς ἄλση καὶ λειμῶν
ἀνέθηκεν. ⟨423⟩ πολλαὶ δὲ πόλεις, ὥσπερ κοινων
τῆς βασιλείας, καὶ χώραν ἔλαβον παρ' αὐτοῦ· γυμν
σιαρχίαις δ' ἄλλας ἐπετησίοις τε καὶ διηνεκέσιν ἐδ
ρήσατο προσόδους κατατάξας, ὥσπερ Κῴοις, ἵνα μ
δέποτ' ἐκλείπῃ τὸ γέρας. ⟨424⟩ σῖτόν γε μὴν πάσ
ἐχορήγησε τοῖς δεομένοις, καὶ τῇ Ῥόδῳ χρήματα μ
εἰς ναυτικοῦ κατασκευὴν παρέσχε πολλαχοῦ καὶ πο
λάκις, ἐμπρησθὲν δὲ τὸ Πύθιον ἰδίοις ἀναλώμασ
ἄμεινον ἀνεδείματο. ⟨425⟩ καὶ τί δεῖ λέγειν τὰς ε
Λυκίους ἢ Σαμίους δωρεάς, ἢ τὴν δι ὅλης τῆς Ἰωνία
ἐν οἷς ἐδεήθησαν ἕκαστοι, δαψίλειαν; ἀλλ' Ἀθηναί
καὶ Λακεδαιμόνιοι Νικοπολῖταί τε καὶ τὸ κατὰ Μυσί

§ 422 = Ant. Iud. XIV 146. § 425 = Ant. Iud. XVI 17

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

σωματικοῖς προτερήμασιν ἐχρήσατο δεξιᾷ καὶ
καὶ γὰρ σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν
σμάτων οὐκ αὐτὸς αἴτιος ἀλλ' ἢ προδοσία τινὰ
προπέτεια στρατιωτῶν ἐγένετο.

22 ⟨431⟩ τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ
τοῖς κατ' οἶκον ἀνιαροῖς ἐνεμέσησε, καὶ κακοδαιμ
ἐκ γυναικὸς ἤρξατο, περὶ ἣν μάλιστ' ἐσπούδ
⟨432⟩ ἐπειδὴ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν,
πεμψάμενος ἦν ἰδιώτης ὧν ἤχτο γαμετήν, γένος δ
ἐξ Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην
Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν
στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μέν,
λιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. ⟨433⟩ πρ
μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον
τοὺς ἐκ Μαριάμμης ἐφυγάδευσε τῆς πόλεως, μό
ταῖς ἑορταῖς ἐφεὶς κατιέναι. ἔπειτα τὸν πάππον
γυναικὸς Ὑρκανόν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθό
δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἠχμαλωτίσατο
Βαρζαφάρνης καταδραμὼν Συρίαν, ἐξῃτήσαντο δὲ
οἶκτον οἱ ὑπὲρ Εὐφράτην δμοεθνεῖς. ⟨434⟩ καὶ
τούτοις ἐπείσθη παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡ
δην, οὐκ ἂν παραπώλετο. δέλεαρ δ' αὐτῷ θαν
τῆς υἱωνῆς ὁ γάμος κατέστη· τούτῳ γὰρ πεποιθὼς
περιττόν τι τῆς πατρίδος ἐφιέμενος ἦκε. παρὼ
δ' Ἡρώδην οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας,
ἐπειδὴ τὸ βασιλεύειν ἐπέβαλλεν αὐτῷ.

2 ⟨435⟩ τῶν δ' ἐκ Μαριάμμης πέντε τέκνων
γενομένων δύο μὲν θυγατέρες τρεῖς δ' ἦσαν
καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμ
τελευτᾷ· δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε,

§ 433 = Ant. Iud. XV 14; 164.

τε τὴν μητρῴαν εὐγένειαν καὶ ὅτι βασιλεύοντι γεγόνοιεν αὐτῷ. ⟨436⟩ τὸ δὲ τούτων ἰσχυρότερον, ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρῴδην λιβρότερον, ὡς μηδενὸς τῶν διὰ τὴν στεργομένην λυπηρῶν αἰσθάνεσθαι. τοσοῦτον γὰρ ἦν μῖσος εἰς αὐτὸν τῆς Μαριάμμης ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. ⟨437⟩ ἔχουσα δὲ τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερὸς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἰωνάθην. οὐδὲ γὰρ τούτου καίπερ ὄντος παιδὸς ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἐπτακαιδεκέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως, ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι καὶ τῷ βωμῷ προσιόντι καθ' ἑορτὴν ἄθρουν ἐπεδάκρυσε τὸ πλῆθος. πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἰεριχοῦντα, λοῦται δὲ κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

⟨438⟩ διὰ ταῦθ' Ἡρῴδην μὲν ὠνείδιζεν ἡ Μα- 3
ριάμμη, καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δεινοῖς ἐξύβριζε λοιδορίαις. ἀλλ' ὃ μὲν πεφίμωτο τοῖς ἔργοις, δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις εἰσῄει, καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρῴδην ἔμελλον, κακοήθειαν διέβαλλον αὐτήν, ⟨439⟩ ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι, καὶ κατηγοροῦσαι ὡς τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δείξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι δυναμένῳ. ⟨440⟩ τοῦθ' ὥσπερ σκηπτὸς ἐμπεσὼν ἐκπλήττει Ἡρῴδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ξηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας

§ 437 = Ant. Iud. XV 31. § 438 = Ant. Iud. XV 26.

δεινότητα, δι' ἣν Λυσανίας ὁ βασιλεὺς ἀνῄρητο καὶ Μάλιχος ὁ Ἄραψ· οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ θανάτῳ.

4 ⟨441⟩ μέλλων οὖν ἀποδημήσειν Ἰωσήπῳ τάνδρὶ Σαλώμης τῆς ἀδελφῆς αὐτοῦ (πιστὸς δ' ἦν καὶ διὰ τὸ κῆδος εὔνους) παρατίθεται τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐτὴν εἰ κἀκεῖνον Ἀντώνιος. ὁ δὲ Ἰώσηπος οὔ τι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδ' ἀποθανὼν αὐτῆς ὑπομένοι διαζευχθῆναι, τὸ ἀπόρρητον ἐκφέρει. ⟨442⟩ κἀκείνη πρὸς ἐπανήκοντα τὸν Ἡρώδην, πολλά τε περὶ τοῦ πρὸς αὐτὴν συμπαθοῦς ἐν ταῖς ὁμιλίαις ἐπομνύμενον καὶ ὡς οὐδ' ἐρασθείη ποτὲ γυναικὸς ἄλλης, 'πάνυ γοῦν' εἶπε 'ταῖς πρὸς Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν πρὸς ἡμᾶς ἔρωτα, κτεῖναί με προστάξας.'

5 ⟨443⟩ ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν; κοὐκ ἄν ποτε τὸν Ἰώσηπον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος εἰ μὴ διαφθείρειεν αὐτήν, ἐνεθουσία τῷ πάθει, καὶ τῆς κοίτης ἐξαλλόμενος ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. κἀν τούτῳ Σαλώμη ἀδελφὴ τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα τὴν εἰς τὸν Ἰώσηπον ἐβεβαίωσεν ὑποψίαν. ὃ δ' ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανεὶς παραχρῆμα κτείνειν προσέταξεν ἀμφοτέρους. ⟨444⟩ μετάνοια δ' εὐθέως εἵπετο τῷ πάθει, καὶ τοῦ θυμοῦ πεσόντος ὁ ἔρως πάλιν ἀνεζωπυρεῖτο· τοσαύτη δ' ἦν φλεγμονὴ τῆς ἐπιθυμίας ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτήν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διδαχθεὶς τὸ πένθος ἀνάλογον τὴν λύπην ἔσχε τῇ πρὸς περιοῦσαν διαθέσει.

§ 443 = Ant. Iud. XV 84. 209 sq.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

καὶ φανερῶς αὐτὸς ἦν ἤδη διάδοχος· ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ πρὸς Καίσαρα, τῷ τε κόσμῳ καὶ ταῖς ἄλλαις θεραπείαις πλὴν διαδήματος χρώμενος. χρόνῳ δ' ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαριάμμης κοίτην τὴν μητέρα· δυσὶ δ' ὅπλοις κατὰ τῶν ἀδελφῶν χρώμενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν υἱῶν ὑπεργάσατο.

3 ⟨452⟩ τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ τῆς ἐφ' ἑαυτῷ φαρμακείας ἔκρινεν ἐπὶ Καίσαρος. ὃ δ' εὑρὼν μόλις ὁλοφυρμοῦ παρρησίαν καὶ δικαστὴν ἐμπειρότερον Ἀντιπάτρου καὶ Ἡρῴδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως ὑπεστείλατο, τὰς δὲ αὐτοῦ διαβολὰς ἰσχυρῶς ἀπελύσατο· ⟨453⟩ καθαρὸν δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντα τῶν κινδύνων, οὕτως ἤδη τό τ' Ἀντιπάτρου πανοῦργον καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπωδύρετο. συνήργει δ' αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος ἡ περὶ λόγους ἰσχύς· ⟨454⟩ ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. καὶ τὸ τελευταῖον φάμενος ὡς τῷ πατρὶ κτείνειν αὐτοὺς ἔστιν, εἰ δὴ προσίεται τὸ ἔγκλημα, προήγαγε μὲν εἰς δάκρυα πάντας, τὸν δὲ Καίσαρα διέθηκεν οὕτως ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατηγορημένα, διαλλάξαι δ' Ἡρῴδην εὐθέως. αἱ διαλλαγαὶ δ' ἐπὶ τούτοις ἦσαν, ὥστ' ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸν δὲ τὴν βασιλείαν καταλιπεῖν ᾧ βούλεται.

4 ⟨455⟩ μετὰ ταῦτα δ' ἀπὸ Ῥώμης ὑπέστρεφεν ὁ βασιλεύς, τῶν μὲν ἐγκλημάτων ἀφειμένος τοὺς υἱεῖς δοκῶν, τῆς δ' ὑπονοίας οὐκ ἀπηλλαγμένος· παρηκολούθει γὰρ Ἀντίπατρος ἡ τοῦ μίσους ὑπόθεσις, ἀλλ'

§ 452 = Ant. Iud. XVI 90. § 453 = Ant. Iud. XVI 104. § 454 = Ant. Iud. XVI 129.

ἵς γε τὸ φανερὸν τὴν ἀπέχθειαν οὐκ ἐξέφερε, τὸν καλλικτὴν αἰδούμενος. ⟨456⟩ ὡς δὲ τὴν Κιλικίαν ἀφικτλέων κατῆρεν εἰς Ἐλαιοῦσαν, εἱστία μὲν αὐτοὺς ὁ λοφρόνως Ἀρχέλαος, ὑπὲρ τῆς τοῦ γαμβροῦ σωτηρίας εὐχαριστῶν καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ Ῥώμης φίλοις συλλαμβάνεσθαι περὶ τὴν δίκην Ἀλεξάνδρῳ. προπέμπει δὲ μέχρι Ζεφυρίου, δῶρα δοὺς μέχρι τριάκοντα ταλάντων.

⟨457⟩ ὡς δ' εἰς Ἱεροσόλυμα Ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν λαὸν καὶ τοὺς τρεῖς υἱεῖς παραστησάμενος ἀπελογεῖτο περὶ τῆς ἀποδημίας, καὶ πολλὰ μὲν ἐμαρτύρετο τῷ θεῷ, πολλὰ δὲ Καίσαρι καταστησαμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον, καὶ μεῖζόν τι τοῖς υἱοῖς παρασχόντι τῆς βασιλείας τὴν δμόνοιαν, ⟨458⟩ ἣν εἰπὼν ἔφη 'συναρμόσω' μᾶλλον. ὃ μὲν γὰρ κύριον ἐκ τῆς ἀρχῆς καὶ δικαστὴν τοῦ διαδόχου κατέστησεν, ἐγὼ δὲ μετὰ τοῦ συμφέροντος ἐμαυτῷ κἀκεῖνον ἀμείβομενος, τοὺσδε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλέας, καὶ τῆς γνώμης πρῶτον τὸν θεὸν σύμψηφον, ἔπειτα καὶ ὑμᾶς παρακαλῶ γενέσθαι. τῷ μὲν γὰρ φύσις, τοῖς δ' εὐγένεια τὴν διαδοχὴν προξενεῖ. τό γε μὴν μέγεθος τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. ⟨459⟩ ὃς δὲ Καίσαρ μὲν ἥνωσε, καθίστησι δὲ πατήρ, ὑμεῖς τιμήσατε, μήτ' ἀδίκους μήτ' ἀνωμάλους τὰς τιμὰς διδόντες, ἑκάστῳ δὲ κατὰ τὸ πρεσβεῖον· οὐ γὰρ τοσοῦτον ἀδικήσει τις τὸν παρ' ἡλικίαν θεραπευόμενον ὅσον ἀτιμάσει τὸν ἀτιμούμενον, ⟨460⟩ οὓς γε μὴν ἑκάστῳ δοκεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ, καὶ τῆς δμονοίας ἐκείνους ἐγγυητὰς καταστήσομαι,

§ 457 — Ant. Iud. XIV 182.

σαφῶς ἐπιστάμενος ὅτι τὰς στάσεις καὶ τὰς φιλονικίας γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι· κἂν ὦσιν οὗτοι χρηστοί, τηροῦσι τὰς στοργάς. ⟨461⟩ ἀξιῶ δ' οὐ μόνον τούτους ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου ταξιάρχους ἐν ἐμοὶ μόνῳ τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ παρόντος. οὐ γὰρ βασιλείαν ἀλλὰ τιμὴν βασιλείας τοῖς υἱοῖς παραδίδωμι· καὶ τῶν μὲν ἡδέων ὡς ἄρχοντες ἀπολαύσουσι, τὸ βάρος δὲ τῶν πραγμάτων ἐμόν ἐστι, κἂν μὴ θέλω. ⟨462⟩ σκεπτέσθω δ' ἕκαστος τήν θ' ἡλικίαν μου καὶ τὴν ἀγωγὴν τοῦ βίου καὶ τὴν εὐσέβειαν. οὔτε γὰρ οὕτως εἰμὶ γέρων ὥστ' ἂν ἀπελπισθῆναι ταχέως, οὔτ' εἰς τρυφὴν ἐκδιαιτώμενος, ἣ καὶ νέους ἐπιτέμνεται· τὸ δὲ θεῖον οὕτω τεθεραπεύκαμεν ὥστ' ἂν ἐπὶ μήκιστον βίου προελθεῖν. ⟨463⟩ ὃ δὲ τοὺς ἐμοὺς παῖδας θεραπεύων ἐπὶ τῇ ἐμῇ καταλύσει, δώσει μοι καὶ περὶ ἐκείνων δίκας. οὐ γὰρ ἐγὼ φθονῶν τοῖς ἐξ ἐμοῦ γεγεννημένοις ἀνακόπτω τὴν εἰς αὐτοὺς φιλοτιμίαν, ἐπιστάμενος δὲ τοῖς νέοις γίγνεσθαι τὰς σπουδὰς θράσους ἐφόδιον. ⟨464⟩ εἴ γε μὴν ἕκαστος ἐνθυμηθείη τῶν προσιόντων ὅτι χρηστὸς μὲν ὢν παρ' ἐμοῦ λήψεται τὴν ἀμοιβήν, στασιάζων δὲ καὶ παρὰ τῷ θεραπευομένῳ τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι τἀμὰ φρονήσειν, τουτέστι τὰ τῶν ἐμῶν υἱῶν· καὶ γὰρ τούτοις συμφέρει κρατεῖν ἐμὲ καὶ τούτους ὁμονοεῖν. ⟨465⟩ ὑμεῖς δ', ὦ παῖδες ἀγαθοί, πρῶτον μὲν ἐνθυμούμενοι τὴν ἱερὰν φύσιν, ἧς καὶ παρὰ θηρίοις αἱ στοργαὶ μένουσιν, ἔπειτα τὸν ποιησάμενον ἡμῶν τὰς διαλλαγὰς Καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς ἔξεστιν ἐπιτάττειν παρακαλοῦντα, μείνατ' ἀδελφοί. δίδωμι δ' ὑμῖν ἐσθῆτά τ' ἤδη καὶ θεραπείαν

§ 463 = Ant. Iud. XVI 134.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

προδότας καὶ τῶν πραττομένων ἢ λαλουμένων φῶρας. ⟨471⟩ πάντα δὲ περιεσκεμμένως δραματουργῶν τὰς πρὸς Ἡρώδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνικωτάτας, αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ μηνυτὰς ἑτέρους. κἀπειδή λεχθείη τι κατ' Ἀλεξάνδρου, παρελθὼν ὑπεκρίνετο καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος, ἔπειτα κατεσκεύαζεν ἡσυχῇ καὶ πρὸς ἀγανάκτησιν ἐξῆγε τὸν βασιλέα. ⟨472⟩ πάντα δ' εἰς ἐπιβουλὴν ἀνήγετο καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν Ἀλέξανδρον· οὐδὲν γὰρ οὕτω πίστιν ἐχορήγει ταῖς διαβολαῖς ὡς ἀπολογούμενος Ἀντίπατρος ὑπὲρ αὐτοῦ.

2 ⟨473⟩ τούτοις Ἡρώδης ἐξαγριούμενος, ὅσον ὑφῆρει καθ' ἡμέραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον Ἀντιπάτρῳ προσετίθει. συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον οἱ μὲν ἑκόντες οἱ δ' ἐξ ἐπιτάγματος, ὥσπερ Πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τ' ἀδελφοὶ τοῦ βασιλέως καὶ πᾶσα ἡ γενεά. πάντα γὰρ Ἀντίπατρος ἦν, καὶ τὸ πικρότατον Ἀλεξάνδρῳ, πάντ' ἦν ἡ Ἀντιπάτρου μήτηρ, σύμβουλος κατ' αὐτῶν μητρυιᾶς χαλεπωτέρα, καὶ πλέον τι προγόνων μισοῦσα τοὺς ἐκ βασιλίδος. ⟨474⟩ πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν ἐθεράπευον Ἀντίπατρον ἤδη, συναφίστη δ' ἕκαστον τὰ τοῦ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις μήτε προσιέναι μήτε προσέχειν τοῖς περὶ Ἀλέξανδρον. φοβερὸς δ' ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις· οὐδενὶ γὰρ βασιλέων τοσαύτην Καῖσαρ ἔδωκε ἐξουσίαν ὥστε τὸν ἀπ' αὐτοῦ φεύγοντα καὶ μὴ προσηκούσης πόλεως ἐξαγαγεῖν. ⟨477⟩ τὰ δὲ μειράκια τὰς μὲν διαβολὰς

§ 471 = Ant. Iud. XVI 190. § 473 = Ant. Iud. XVI 191.

ἠγνόει, παρ' ὃ καὶ μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐταῖς (οὐδὲν γὰρ ὁ πατὴρ φανερῶς ἐπεμέμφετο), συνίει δὲ κατὰ μικρὸν ἐκ τοῦ ψύγματος καὶ ὅτι πρὸς τὸ λυποῦν μᾶλλον ἐτραχύνετο. διέθηκε δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρωδῶς, καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν συνετὴν οὖσαν, καθομιλῶν ἀεὶ καὶ παροξύνων. ⟨476⟩ συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ Ἀλεξάνδρου γυνὴ Γλαφύρα, γενεαλογοῦσα τὴν αὑτῆς εὐγένειαν, καὶ ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσπότις, κατὰ πατέρα μὲν ἀπὸ Τημένου κατὰ μητέρα δ' ἀπὸ Δαρείου τοῦ Ὑστάσπεως οὖσα· ⟨477⟩ πολλὰ δ' ὠνείδιζεν εἰς δυσγένειαν τήν τ' ἀδελφὴν τὴν Ἡρώδου καὶ τὰς γυναῖκας, ὧν ἑκάστη δι' εὐμορφίαν, οὐκ ἀπὸ γένους ἠρέθη. πολλαὶ δ' ἦσαν, ὡς ἂν ἐφιεμένου τε πατρίως Ἰουδαίοις γαμεῖν πλείους, καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἷς πᾶσαι διὰ τὸ μεγάλαυχον τῆς Γλαφύρας καὶ τὰς λοιδορίας ἐμίσουν Ἀλέξανδρον.

⟨478⟩ τὴν δὲ δὴ Σαλώμην, καίτοι πενθερὰν οὖσαν, αὐτὸς Ἀριστόβουλος ἑαυτῷ διεστασίασεν, ὠργισμένην καὶ πρότερον ἐπὶ ταῖς ἐκ Γλαφύρας βλασφημίαις. ὠνείδιζε γὰρ τῇ γυναικὶ συνεχῶς τὴν ταπεινότητα, καὶ ὡς αὐτὸς μὲν ἰδιώτιν, ὁ δ' ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος γήμειε βασιλίδα. ⟨479⟩ τοῦτο κλαίουσα τῇ Σαλώμῃ διήγγειλεν ἡ θυγάτηρ. προσετίθει δ' ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν τὰς μὲν μητέρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσι τὴν βασιλείαν, ἰσουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν, αὐτοὺς δὲ κωμῳδεῖν γραμματεῖς, ἐπισκώπτοντες ὡς παιδευομένους ἐπιμελῶς· πρὸς ἃ τὴν ὀργὴν οὐ κατασχοῦσα Σαλώμη

§ 476 — Ant. Iud. XVI 193. § 478 = Ant. Iud. XVI 201.

πάντα διήγγειλεν Ἡρῴδῃ· σφόδρα δ' ἦν ἀξιόπιστο
κατὰ γαμβροῦ λέγουσα. ⟨480⟩ καί τις ἑτέρα διαβολ
συνέδραμεν ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέω
ἦκουσε γὰρ αὐτοὺς συνεχῶς ἀναπαλεῖσθαι μὲν τ
μητέρα, καὶ κατοιμώξειν δ' ἀπαρωμένους αὐτῷ, πο
λάκις δ' αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης ἐσθήτα
τινὰς ταῖς μεταγενεστέραις γυναιξίν, ἀπειλεῖν ὡς ἀν
τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν αὐταῖς ἐκ τρι
χῶν πεποιημένας.

4 ⟨481⟩ διὰ ταῦτα καίτοι τὸ φρόνημα τῶν νεανίσκα
ὑποδείσας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διο
θώσεως, ἀλλὰ προσκαλεσάμενος αὐτούς (καὶ γὰρ ἐ
Ῥώμην ἐκπλεύσειν ἔμελλε) βραχέα μὲν ἠπείλησεν ὁ
βασιλεύς, τὰ πολλὰ δ' ἐνουθέτησεν ὡς πατήρ, κ
φιλεῖν τοὺς ἀδελφοὺς παρεκάλει, διδοὺς τῶν προ
μαρτημένων ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γ
νοιντο. ⟨482⟩ οἱ δὲ τὰς μὲν διαβολὰς ἀπεσκευάζοντ
ψευδεῖς εἶναι λέγοντες, πιστώσεσθαι δὲ τὴν ἀπολογία
τοῖς ἔργοις ἔφασκον· δεῖν μέντοι κἀκεῖνον ἀποφράτ
τειν τὰς λογοποιίας τῷ μὴ πιστεύειν ῥᾳδίως· οὐ γὰ
ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν
πειθόμενος ᾖ.

5 ⟨483⟩ τούτοις ὡς πατέρα πείσαντες ταχέως τὸ
μὲν ἐν χερσὶ φόβον διεκρούσαντο, τὴν δ' εἰς τὰ μέλ
λοντα λύπην προσέλαβον· ἔγνωσαν γὰρ τήν τε Σαλώ
μην ἐχθρὰν καὶ τὸν θεῖον Φερώραν. ἦσαν δὲ βαρεῖ
μὲν ἀμφότεροι καὶ χαλεποί, Φερώρας δὲ μείζων, ὁ
πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν διαδήματος
προσόδους δ' ἰδίας ἑκατὸν εἶχε τάλαντα, τὴν δὲ πέρα
Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν, λαβὼν παρὰ τάδε

§ 483 — Ant. Iud. XVI 194 sq.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τρεῖς ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ τιμιώτατοι, ὡς δῆλον ἐξ ὧν ἐλειτούργουν· τῷ μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον προσφέρειν, ὁ δ' αὐτὸν κατεκοίμιζέ τε καὶ συγκατεκλίνετο. ⟨489⟩ τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπηγάγετο ὁ Ἀλέξανδρος. μηνυθὲν δὲ τῷ βασιλεῖ διηλέγχοντο βασάνοις, καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν, ἐξέφερον δὲ καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὃν τρόπον ἀπατηθεῖεν ὑπ' Ἀλεξάνδρου λέγοντος, ⟨490⟩ ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν, ἀναιδεῖ γέροντι καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτ' αὐτὸν οἴονται καὶ νέον, αὐτῷ δὲ προσέχειν, ὃς καὶ παρ' ἄκοντος διαδέξεται τὴν βασιλείαν, οὐκ εἰς μακράν τε τοὺς μὲν ἐχθροὺς ἀμυνεῖται, τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ μακαρίους, πρὸ πάντων δ' αὐτούς. ⟨491⟩ εἶναι δὲ καὶ θεραπείαν τῶν δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς θ' ἡγεμόνας τοῦ στρατιωτικοῦ καὶ τοὺς ταξιάρχους κρύφα πρὸς αὐτὸν συνιέναι.

⟨492⟩ ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν ὡς
8 μηδὲ παραχρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν, ἀλλὰ κατασκόπους ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν ἕκαστα τῶν πραττομένων ἢ λεγομένων διηρεύνα, καὶ τοὺς ἐν ταῖς ὑποψίαις εὐθέως ἀνῄρει. ⟨493⟩ δεινῆς δὴ ἀνομίας ἐνεπλήσθη τὸ βασίλειον. κατὰ γὰρ ἔχθραν ἢ μῖσος ἴδιον ἕκαστος ἔπλαττε τὰς διαβολάς, καὶ πολλοὶ πρὸς τοὺς διαφόρους φονῶντι τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν διαβολῶν ἦσαν ὠκύτεραι. κατηγγρείτο γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συνηπήγετο. τὰς γὰρ ἐξετάσεις κ

§ 489 = Ant. Iud. XVI 232.

τοῦ βασιλέως ὁ περὶ τῆς ψυχῆς κίνδυνος ἐπετέμνετο. ⟨494⟩ προύβη δ' εἰς τοσοῦτον πικρίας ὡς μηδὲ τῶν ἀναιτιάτων τινὶ προσβλέπειν ἡμέρως, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. πολλοῖς γοῦν αὐτῶν ἀπεῖπε τὸ βασίλειον· καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν, τῷ λόγῳ χαλεπὸς ἦν. ⟨495⟩ συνεπέβη δ' Ἀντίπατρος ἐν ταῖς συμφοραῖς Ἀλεξάνδρῳ, καὶ στῖφος ποιήσας τῶν συγγενῶν οὐκ ἔστιν ἥντινα διαβολὴν παρέλιπε. προήχθη γέ τοι πρὸς τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ καὶ τῶν συνταγμάτων ὥστ' ἐφεστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον ξιφήρη. ⟨496⟩ συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. σιγῶντες δ' ἀπέθνησκον οἱ πολλοὶ καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες· οἱ δ' ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον ὡς ἐπιβουλεύοι τ' αὐτῷ μετ' Ἀριστοβούλου τἀδελφοῦ, καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδρᾶναι. ⟨497⟩ τούτοις, καίπερ οὐ πιθανοῖς οὖσιν ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως.

⟨498⟩ ὁ δ' Ἀλέξανδρος ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμήχανον ὃν ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω, καὶ τέτταρας κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος προσωμολόγει μὲν τὴν ἐπιβουλήν, κοινωνοὺς δ' ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάντων Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτ' αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. ⟨499⟩ αἵ τ' οὖν βίβλοι παρῆσαν εἰς χεῖρας Ἡρώδῃ, πολλὰ

§ 494 = Ant. Iud. XVI 236. § 498 = Ant. Iud. XVI 255.
§ 499 = Ant. Iud. XVI 261.

καὶ δεινὰ κατὰ τῶν δυνατῶν βοῶσαι, καὶ διὰ τάχου
εἰς Ἰουδαίαν Ἀρχέλαος ἀφικνεῖται, περὶ τῷ γαμβ
καὶ τῇ θυγατρὶ δείσας. γίγνεται δὲ βοηθὸς αὐτο
μάλα προμηθής, καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀσελ
διεκρούσατο. ⟨500⟩ συμβαλὼν γὰρ εὐθέως αὐτῷ 'κ
ποτ' ἐστιν ὁ ἁλιτήριός μου γαμβρός;' ἐβόα. 'ποῦ
τὴν πατροκτόνον ὄψομαι κεφαλήν, ἣν ταῖς ἐμαυτ
χερσὶ διασπαράξω; προσθύσω δὲ καὶ τὴν θυγατέ
μου τῷ [καλῷ νυμφίῳ· καὶ γὰρ εἰ μὴ κεκοινώνη
τοῦ σκέμματος, ὅτι τοιούτου γέγονε γυνή, μεμίανται
⟨501⟩ θαυμάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τ
ἀνεξικακίας, εἰ ζῇ μέχρι νῦν Ἀλέξανδρος. ἐγὼ γ
ἠπειγόμην ἀπὸ Καππαδοκίας ὡς τὸν μὲν εὑρήσων
λαι δεδωκότα δίκας, μετὰ δὲ σοῦ περὶ τῆς θυγατρ
ἐξετάσων, ἣν ἐκείνῳ γε, πρὸς τὸ σὸν ἀξίωμα βλέπ
ἠγγύησα. νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν βουλευτέον. κ
ἧς λίαν πατὴρ τοῦ κολάζειν υἱὸν ἐπίβουλον ἀτονώ
ρος, ἀμείψωμεν τὰς δεξιὰς καὶ γενώμεθα τῆς ἀλλήλ
ὀργῆς διάδοχοι.'

2 ⟨502⟩ τούτοις περιχομπήσας καίπερ παρατεταγμέ
Ἡρώδην ὑπάγεται. δίδωσι γοῦν αὐτῷ τὰς συνταχθ
σας ὑπ' Ἀλεξάνδρου βίβλους ἀναγνῶναι, καὶ κ
ἕκαστον ἐφιστὰς. κεφάλαιον συνεσκέπτετο. λαμβά
δ' ὁ Ἀρχέλαος ἀφορμὴν τοῦ στρατηγήματος, καὶ κ
μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ Φερώραν μεταγ
τὴν αἰτίαν. ⟨503⟩ ὡς δ' ἑώρα πιστεύοντα τὸν βα
λέα, 'σκεπτέον' ἔφη 'μήποτε τὸ μειράκιον ὑπὸ τοσ
των εἴη πονηρῶν ἐπιβουλευόμενον, οὐχ ὑπὸ τοῦ μ
ρακίου σύ.' καὶ γὰρ οὐδ' ὁρᾶν αἰτίαν ἐξ ἧς ἂν
τηλικοῦτον μύσος προύπεσεν, ἀπολαύων μὲν

§ 503 = Ant. Iud. XVI 266.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

δείγμασι· καὶ γὰρ αὐτὸς πολλῷ χαλεπώτερα πάσχων ὑπὸ τἀδελφοῦ, τῆς ἀμύνης ἐπίπροσθεν τίθεσθαι τὸ τῆς φύσεως δίκαιον. ἐν γὰρ ταῖς βασιλείαις, ὥσπερ ἐν μεγάλοις σώμασιν, ἀεί τι μέρος φλεγμαίνειν ὑπὸ τοῦ βάρους, ὅπερ ἀποκόπτειν μὲν οὐ χρῆναι, θεραπεύειν δὲ πρᾳότερον.

5 ⟨508⟩ πολλὰ τοιαῦτα λέγων Ἡρώδην μὲν ἐπὶ Φερώρᾳ μειλίσσεται, διέμενε δ' αὐτὸς ἀγαναχτῶν πρὸς Ἀλέξανδρον, καὶ τὴν θυγατέρα διαζεύξας ἀπάξειν ἔφασκεν, ἕως περιέστησεν Ἡρώδην ἀντιπαραχαλεῖν ὑπὲρ τοῦ μειρακίου, καὶ πάλιν αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα. σφόδρα δ' ἀξιοπίστως Ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπε, πλὴν Ἀλεξάνδρου· περὶ πλείστου γὰρ ποιεῖσθαι τηρεῖν πρὸς αὐτὸν τὰ τῆς ἐπιγαμίας δίκαια. ⟨509⟩ φαμένου δὲ τοῦ βασιλέως δῶρον ἕξειν παρ' αὐτοῦ τὸν υἱόν, εἰ μὴ λύσειε τὸν γάμον, ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δ' οὕτως ὑπὸ τοῦ μειρακίου τῆς γυναικός, ἣν παραμένουσαν μὲν ἔσεσθαι δυσώπημα τῶν ἡμαρτημένων, ἀπορραγεῖσαν δ' αἰτίαν τῆς εἰς ἅπαντ' ἀπογνώσεως (μαλακωτέρας γὰρ γίγνεσθαι τὰς τόλμας πάθεσιν οἰκείοις περισπωμένας), ⟨510⟩ κατανεύσας μόλις Ἀρχέλαος διαλλάττεταί τε καὶ διαλλάττει τῷ νεανίσκῳ τὸν πατέρα. δεῖν μέντοι πάντως ἔφη πέμπειν αὐτὸν εἰς Ῥώμην, Καίσαρι διαλεξόμενον· γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ περὶ πάντων.

6 ⟨511⟩ τὸ μὲν οὖν Ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμβρὸν ἐρρύσατο, πέρας εἶχε, μετὰ δὲ τὰς διαλλαγὰς ἐν εὐωχίαις καὶ φιλοφρονήσεσι διῆγον. ἀπιόντα δ' αὐτὸν Ἡρώδης δωρεῖται ταλάντων ἑβδομήκοντα

§ 508 = Ant. Iud. XVI 263. § 510 = Ant. Iud. XVI 269.

δώροις, θρόνῳ τε χρυσῷ διαλίθῳ καὶ εὐνούχοις καὶ παλλακίδι, ἥτις ἐκαλεῖτο Πανννυχίς, τῶν τε φίλων ἐτίμησεν ἕκαστον κατ' ἀξίαν. ⟨512⟩ ὁμοίως δὲ καὶ οἱ συγγενεῖς, προστάξαντος τοῦ βασιλέως, πάντες Ἀρ-
χελάῳ λαμπρὰ δῶρα ἔδοσαν. προυπέμφθη δ' ὑπό τε Ἡρώδου καὶ τῶν δυνατῶν μέχρι Ἀντιοχείας.

⟨513⟩ μετ' οὐ πολὺ δ' εἰς τὴν Ἰουδαίαν παρενέβαλεν 26
ἀνὴρ πολὺ τῶν Ἀρχελάου στρατηγημάτων δυνατώτερος,
ὃς οὐ μόνον τὰς ὑπ' ἐκείνου πολιτευθείσας Ἀλεξάνδρῳ
μαλλαγὰς ἀνέτρεψεν, ἀλλὰ καὶ ἀπωλείας αἴτιος αὐτῷ
κατέστη. γένος ἦν Λάκων, Εὐρυκλῆς τοὔνομα, πόθῳ
ρημάτων εἰς τὴν βασιλείαν εἰσφθαρείς· οὐ γὰρ ἀν-
είχεν ἔτι ἡ Ἑλλὰς αὐτοῦ τῇ πολυτελείᾳ. ⟨514⟩ λαμπρὰ
Ἡρῴδῃ δῶρα προσενεγκών, δέλεαρ ὧν ἐθηρᾶτο,
καὶ παραχρῆμα πολλαπλασίῳ λαβών, οὐδὲν ἡγεῖτο τὴν
αθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύσαιτο τὴν
ασιλείαν. ⟨515⟩ περιέρχεται γοῦν τὸν βασιλέα κο-
ακείᾳ καὶ δεινότητι λόγων καὶ περὶ αὐτοῦ ψευδέσιν
γκωμίοις. ταχέως δὲ συνιδὼν τὸν Ἡρώδου τρόπον,
ᾗ πάντα λέγων τε καὶ πράττων τὰ πρὸς ἡδονὴν
ητῷ, φίλος ἐν τοῖς πρώτοις γίγνεται· καὶ γὰρ ὁ βα-
ιλεὺς διὰ τὴν πατρίδα καὶ πάντες οἱ περὶ αὐτὸν
ᾶς προυτίμων τὸν Σπαρτιάτην.

⟨516⟩ ὅ δ' ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθε, 2
ἵς τε τῶν ἀδελφῶν διαφοράς, καὶ ὅπως διέκειτο πρὸς
ἄστον ὁ πατήρ, Ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο,
λλᾳ δ' Ἀλέξανδρον ὑπεκρίνετο, ψευσάμενος ἑταῖρον
ιὸν εἶναι καὶ Ἀρχελάου πάλαι. διὸ δὴ καὶ ταχέως
ὐδοκιμασμένος ἐδέχθη· συνίστησι δ' ἑαυτὸν εὐθέως
ᾷ Ἀριστοβούλῳ ταδελφῷ. ⟨517⟩ πάντων δ' ἀπο-

§ 513 = Ant. Iud. XVI 301. § 516 = Ant. Iud. XVI 302.

πειραθεὶς τῶν προσώπων ἄλλον ἄλλως ὑπῄει. γίγνετ
δὲ προηγουμένως μισθωτὸς Ἀντιπάτρου καὶ προδότ
Ἀλεξάνδρου, τῷ μὲν ὀνειδίζων εἰ πρεσβύτατος ὢ
περιόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσι
Ἀλεξάνδρῳ δ' εἰ γεγενημένος ἐκ βασιλίδος, καὶ βα
λίδι συνοικῶν, ἐάσει διαδέχεσθαι τὴν ἀρχὴν τὸν
ἰδιώτιδος, καὶ ταῦτα μεγίστην ἀφορμὴν ἔχων Ἀρι
λαον. ⟨518⟩ ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμβουλ
τὴν Ἀρχελάου φιλίαν πλασάμενος. δι' ὃ μηδὲν ὑπ
στελλόμενος Ἀλέξανδρος τά τε κατ' Ἀντίπατρον ἀπ
δύρετο πρὸς αὐτόν, καὶ ὡς Ἡρώδης αὐτῶν τὴν μητέ
κτείνας οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τ
ἐκείνης βασιλείαν. ἐφ' οἷς Εὐρυκλῆς οἰκτείρειν
καὶ συναλγεῖν ὑπεκρίνετο. ⟨519⟩ τὰ δ' αὐτὰ καὶ τ
Ἀριστόβουλον εἰπεῖν δελεάσας, καὶ ταῖς κατὰ τ
πατρὸς μέμψεσιν ἐνδησάμενος ἀμφοτέρους, ᾧχετο
ρων Ἀντιπάτρῳ τἀπόρρητα. προσεπεψεύδετο δ' ἐκ
βουλὴν ὡς ἐνεδρευόντων αὐτῷ τῶν ἀδελφῶν, καὶ μ
νον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. λαβὼν δ'
τούτοις χρημάτων πλῆθος, ἐπαινέτης ἦν Ἀντιπάτρ
πρὸς τὸν πατέρα. ⟨520⟩ τὸ δὲ τελευταῖον ἐργολα
σας τὸν Ἀριστοβούλου καὶ Ἀλεξάνδρου θάνατον, κα
γορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίγνεται. καὶ προσελθ
ἀντιδιδόναι τὸ ξῆν ἔφασκεν Ἡρώδῃ τῶν εἰς αὐ
εὐεργεσιῶν, καὶ τὸ φῶς ἀμοιβὴν τῆς ξενίας ἀντιπα
χειν. πάλαι γὰρ ἐπ' αὐτὸν ἠκονῆσθαι ξίφος καὶ
Ἀλεξάνδρου τετονῶσθαι δεξιάν, ἐμποδὼν δ' αὐ
γεγονέναι τῷ τάχει, συνεργεῖν ὑποχριθείς. ⟨521⟩
ναι γὰρ τὸν Ἀλέξανδρον ὡς οὐκ ἀγαπᾷ βασιλεύ
αὐτὸς Ἡρώδης ἐν ἀλλοτρίοις, καὶ μετὰ τὸν τῆς μητ

§ 520 = Ant. Iud. XVI 307.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

Εὐρυκλῆς ἐπῆνει πολλὰ τὸν Ἀντίπατρον, ὡς ἄρα μόνος τ' εἴη φιλοπάτωρ καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπι βουλῆς ἐμπόδιος. μήπω δὲ καλῶς ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις κατεσταλμένος εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται 〈527〉 καὶ πάλιν λαβὼν καιρὸν Ἀντίπατρος ἑτέρους κατὰ τῶν ἀδελφῶν ὑπέπεμπε κατηγόρους, λέγειν ὅτι Ἰουκούνδῳ καὶ Τυράννῳ λάθρᾳ διαλέγοιντο, τοῖς ἐπ πάρχοις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δ' ἐκ τινῶν προσκρουμάτων ἀποπεπτωκόσι τῆς τάξεως. ἐφ οἷς Ἡρώδης ὑπεραγανακτήσας εὐθέως ἐβασάνισε τοὺ ἄνδρας. 〈528〉 ἀλλ' οἳ μὲν οὐδὲν τῶν διαβληθέντων ὡμολόγουν, προυκομίσθη δέ τις πρὸς τὸν Ἀλεξανδρεῖο φρούραρχον ἐπιστολὴ παρ' Ἀλεξάνδρου, παρακαλοῦντο ἵν' αὐτὸν δέξηται τῷ φρουρίῳ μετ' Ἀριστοβούλο τἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖ ὅπλοις χρήσασθαι καὶ ταῖς ἄλλαις ἀφορμαῖς. 〈529〉 ταύτην Ἀλέξανδρος μὲν ἔλεγε τέχνασμα εἶναι Διοφάν του (γραμματεὺς δ' ἦν ὁ Διόφαντος τοῦ βασιλέως τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸ γράμματα· πολλὰ γοῦν παραχαράξας τελευταῖον ἐπ τούτῳ κτείνεται)· βασανίσας δὲ τὸν φρούραρχον Ἡρώ δης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλη μένων.

4 〈530〉 ἀλλὰ καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθε νεῖς, τοὺς υἱοὺς ἐκέλευσε τηρεῖν, ἔτι μέντοι λελυμέ νους· τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸ ὅλου τοῦ μύσους Εὐρυκλέα, σωτῆρα καὶ εὐεργέτη καλῶν, πεντήκοντα δωρεῖται ταλάντοις. ὁ δὲ τὴ ἀκριβῆ φήμην φθάσας εἰς Καππαδοκίαν ἀργυρίζετα καὶ παρ' Ἀρχελάου, τολμήσας εἰπεῖν ὅτι διαλλάξειε

§ 529 = Ant. Iud. XVI 319. § 530 = Ant. Iud. XVI 30

Ἡρῴδην Ἀλεξάνδρῳ. ⟨531⟩ διάρας δ' εἰς τὴν Ἑλλάδα τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς ὅμοια κατεχρήσατο· δὶς γοῦν ἐπὶ Καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν Ἀχαΐαν καὶ περιδύειν τὰς πόλεις φυγαδεύεται.

⟨532⟩ κἀπεῖνον μὲν οὕτως ἡ Ἀριστοβούλου καὶ Ἀλεξάνδρου ποινὴ περιῆλθεν, ἄξιον δ' ἀντιθεῖναι τὸν Κῷον Εὐάρατον τῷ Σπαρτιάτῃ· καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλος Ἀλεξάνδρῳ, καὶ κατὰ τὸν αὐτὸν Εὐρυκλεῖ καιρὸν ἐπιδημήσας, πυνθανομένῳ τῷ βασιλεῖ περὶ ὧν ἐκεῖνος διέβαλλεν, ὅρκοις μηδὲν ἀκηκοέναι κυρὰ τῶν μειρακίων ἐπιστώσατο. οὐ μὴν ὤνησέ γέ τι τοὺς ἀθλίους· ⟨533⟩ μόνων γὰρ ἦν τῶν κακῶν ἀκροατὴς ἑτοιμότατος Ἡρῴδης, καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων καὶ συναγανακτῶν.

⟨534⟩ παρῴξυνε δ' αὐτοῦ καὶ Σαλώμη τὴν ἐπὶ 27
τοῖς τέκνοις ὠμότητα. ταύτην γὰρ συνδήσασθαι τοῖς κινδύνοις ὁ Ἀριστόβουλος θέλων, οὖσαν ἐκυρὰν καὶ τηθίδα, διαπέμπεται σώζειν αὐτὴν παραινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν ᾧ οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδάζουσα λάθρᾳ τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλοι πρὸς αὐτὸν ἐχθρὸν ὄντα. ⟨535⟩ τοῦθ' ὅσπερ τελευταία θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐκβάπτισεν· ἡ γὰρ Σαλώμη δραμοῦσα πρὸς βασιλέα παραίνεσιν ἐμήνυσε. κἀκεῖνος οὐκέτι καρτερήσας ἅπαξ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διεχώρισεν ἀπ' ἀλλήλων, πέμπει δὲ πρὸς Καίσαρα διὰ τάχους Ὑρκανόν τε τὸν στρατοπεδάρχην καὶ τῶν φίλων Ὄλυμπον, ἐγγράφους τὰς μηνύσεις φέροντας. ⟨536⟩ οἳ δ'

§ 534 = Ant. Iud. XVI 322. 332 sq.

ὡς εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ παρὰ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη Καῖσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν πατέρα τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. ⟨537⟩ ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστάς, εὖ μέντοι ποιήσειν λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τ' ἰδίων συγγενῶν καὶ τῶν κατὰ τὴν ἐπαρχίαν ἡγεμόνων ἐξετάσειε τὴν ἐπιβουλήν· κἂν μὲν ἐνέχωνται, κτείνειν, ἐὰν δὲ μόνον ὦσι δρασμὸν βεβουλευμένοι, κολάζειν μετριώτερον.

2 ⟨538⟩ τούτοις Ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς Βηρυτόν, ἔνθα προσέταξε Καῖσαρ, συνήγαγε τὸ δικαστήριον. προκαθέζονται δ' οἱ ἡγεμόνες, γράφὲν αὐτοῖς ὑπὸ Καίσαρος, Σατουρνῖνός τε καὶ οἳ περ Πεδάνιον πρέσβεις· σὺν οἷς καὶ Ὀλούμνιος ὁ ἐπίτροπος, ἔπειθ' οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι, πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ ὄντα κηδεστὴν Ἀλεξάνδρου δι' ὑποψίας εἶχεν Ἡρώδης ⟨539⟩ τούς γε μὴν υἱοὺς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα προμηθῶς· ᾔδει γὰρ ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. ἀλλ' ὁ μὲν ἐν Πλατάνῃ, κώμῃ Σιδωνίων, ἐφρουροῦντο, ⟨540⟩

3 καταστὰς δ' ὁ βασιλεὺς ὡς πρὸς παρόντας διετείνετο κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας δὲ καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημμελείας μυρίας εἰς αὐτόν, καὶ θανάτου χαλεπώτερα, τοῖς συνέδροις ἀπέφαινεν ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποιχτισάμενος ὡς αὐτὸ

§ 537 = Ant. Iud. XVI 356. § 538 = Ant. Iud. XVI 36

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

διαδόχων ἐπ' Ἀντιπάτρῳ καταλείπουσι μόνῳ, τὸν αὐτοῖς εὐμεταχείριστον αἱρούμενοι βασιλέα. ⟨546⟩, σκέψαι μέντοι γε μή ποτε κἀκείνῳ γένηται μῖσος ἐν τοῖς στρατιώταις ὁ τῶν ἀδελφῶν θάνατος· οὐ γὰρ ἔστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια, τῶν δ' ἡγεμόνων καὶ φανερῶς ἀγαναχτοῦσι πολλοί.' ταῦθ' ἅμα λέγων ὠνόμαζε τοὺς ἀγαναχτοῦντας. ὁ δὲ βασιλεὺς εὐθέως ἐκείνους τε καὶ αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ συνελάμβανεν. ⟨547⟩ ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προεκπηδήσας ἔκ τινος φρενοβλαβείας ἑαυτοῦ μηνυτὴς γίγνεται. 'κἀμέ' γὰρ ἔφη 'Τίρων οὗτος ἀνέπειθεν, ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχρήσασθαι, μεγάλας τέ μοι παρ' Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο.' ⟨548⟩ ταῦτ' ἀκούσας Ἡρώδης τόν τε Τίρωνα σὺν τῷ παιδὶ καὶ τὸν κουρέα βασάνοις διήλεγχε. καὶ τῶν μὲν ἀρνουμένων, τοῦ δὲ μηδὲν πλέον λέγοντος, στρεβλοῦν ἐκέλευσε τὸν Τίρωνα σφοδρότερον. ⟨549⟩ ὁ δ' υἱὸς οἰκτείρας ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρίσαιτο τὸν πατέρ' αὐτῷ. κἀκείνου δόντος εἶπεν ὡς ὁ πατὴρ αὐτοῦ, πεισθεὶς Ἀλεξάνδρῳ, θελήσειεν αὐτὸν ἀνελεῖν. τοῦθ' οἱ μὲν εἰς ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δ' ἀληθὲς ἔλεγον. ⟨550⟩ Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν θ' ἡγεμόνων καὶ Τίρωνος κατηγορήσας, τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν· αὐτόθι γοῦν ἀναιροῦνται μετὰ τοῦ κουρέως, ξύλοις βαλλόμενοι καὶ λίθοις. ⟨551⟩ πέμψας δὲ καὶ τοὺς υἱεῖς εἰς Σεβαστήν, οὖσαν οὐ πόρρω τῆς Καισαρείας, προσέταξεν ἀποπνῖξαι. καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ πρόστάγματος, τοὺς νεκροὺς εἰς Ἀλεξάνδρειον ἐκέλευσεν ἀνακομισθῆναι τὸ

§ 548 = Ant. Iud. XVI 389.

φρούριον, συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι.

(552) τὸ μὲν οὖν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τέλος τοιοῦτον ἦν· Ἀντιπάτρῳ δ' ἀδήριτον ἔχοντι τὴν διαδοχὴν μῖσος μὲν ἀφόρητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται, πάντων ἐπισταμένων ὅτι τὰς διαβολὰς τοῖς ἀδελφοῖς πάσας ἐπισυντάξειεν οὗτος. ὑποικούρει δὲ καὶ δέος οὐ μέτριον, αὐξανομένην ὁρῶντι τὴν τῶν ἀνηρημένων γενεάν. ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο, Τιγράνης καὶ Ἀλέξανδρος, Ἀριστοβούλῳ δ' ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς Ἡρῴδης μὲν καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοί, θυγατέρες δὲ Ἡρῳδιὰς καὶ Μαριάμμη. (553) τὴν μὲν οὖν Γλαφύραν Ἡρῴδης μετὰ τῆς προικὸς ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον, τὴν Ἀριστοβούλου δὲ Βερενίκην συνῴκισε θείῳ πρὸς μητρὸς Ἀντιπάτρου· τὴν γὰρ Σαλώμην οὖσαν διάφορον ἐξοικειούμενος δ' Ἀντίπατρος τοῦτον ἐπραγματεύσατο τὸν γάμον. (554) περιῆγε δὲ καὶ τὸν Φερώραν δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις, καὶ τοὺς Καίσαρος φίλους, οὐκ ὀλίγα πέμπων εἰς τὴν Ῥώμην χρήματα. οἵ γε μὴν περὶ Σατουρνῖνον ἐν Συρίᾳ πάντες ἐνεπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν. ἐμισεῖτο δὲ διδοὺς πλέον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος ἀλλ' ἀναλίσκων κατὰ δέος. (555) συνέβαινε δὴ τοὺς μὲν λαμβάνοντας οὐδὲν μᾶλλον εὐνους γίγνεσθαι, χαλεπωτέρους δ' ἐχθροὺς οἷς μὴ διδοίη. λαμπροτέρας δὲ καθ' ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις, ὁρῶν τὸν βασιλέα, παρ' ὃς αὐτὸς ἐλπίδας εἶχεν, ἐπιμελούμενον τῶν ὀρφανῶν, καὶ

§ 552 = Ant. Iud. XVII 1; cf. XVIII 130. § 553 sq. = Ant. Iud. XVII 6 sq.

τὴν ἐπὶ τοῖς ἀνῃρημένοις μετάνοιαν ἐμφαίνοντα θε
ὧν ἠλέει τοὺς ἐξ ἐκείνων.

2 ⟨556⟩ συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε
καὶ φίλους, παραστησάμενός τε τὰ παιδία καὶ θαυμάσ
ἐμπλήσας τοὺς ὀφθαλμούς, εἶπεν ‘ἐμὲ τοὺς μὲν πα-
τέρας τούτων σκυθρωπὸς ἀφείλετο δαίμων, ταῦτα δέ
μοι μετὰ τῆς φύσεως συνίστησιν ἔλεος ὀρφανίας. πει-
ρῶμαι δ’ εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, πάππος
γοῦν φανῆναι μετριώτερος, καὶ μετ’ ἐμὲ κηδεμόνας
αὐτοῖς καταλιπεῖν τοὺς ἐμοὶ φιλτάτους. ⟨557⟩ ἐγγυᾶ
δὲ τὴν μὲν σήν, ὦ Φερώρα, θυγατέρα τῷ πρεσβυτέρῳ
τῶν ἀδελφῶν Ἀλεξάνδρου παίδων, ἵν’ ἧς αὐτῷ κηδε-
μὼν ἀναγκαῖος, τῷ δὲ σῷ παιδί, Ἀντίπατρε, τὴν Ἀρι-
στοβούλου θυγατέρα· γένοιο γὰρ ἂν οὕτω πατὴρ τῆς
ὀρφανῆς. καὶ τὴν ἀδελφὴν αὐτῆς ὁ ἐμὸς Ἡρώδης
λήψεται, πρὸς μητρὸς ὢν ἀρχιερέως πάππου. ⟨558⟩
ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ ταύτην ἐχέτω τὴν γνώμην, μη
διακόψῃ μηδεὶς ἐμὲ φιλῶν· ἐπεύχομαι δὲ καὶ τῷ θεῷ
συναρμόσαι τοὺς γάμους ἐπὶ συμφέροντι τῆς ἐμῆς βα
σιλείας καὶ τῶν ἐμῶν ἐγγόνων, τά τε παιδία ταυτ
γαληνοτέροις ἐπιδεῖν ὄμμασιν ἢ τοὺς πατέρας αὐτῶν.

3 ⟨559⟩ ἔτι ταῦτ’ εἰπὼν ἐδάκρυσέ τε καὶ τῶν παι
δων συνήρμοσε τὰς δεξιάς· ἔπειτα κατασπασάμενο
ἕκαστον φιλοφρόνως διέλυσε τὸν σύλλογον. ἐπαχνώθη
δ’ εὐθὺς Ἀντίπατρος, καὶ δῆλος ἦν ἅπασιν ὀδυνώ
μενος· ὑπελάμβανε γὰρ εἶναι καὶ παρὰ τῷ πατρὶ τῆ
τῶν ὀρφανῶν τιμὴν ἑαυτοῦ κατάλυσιν, αὖθίς τε καὶ
δυνεύσειν περὶ τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ Φε
ρώραν ὄντα τετράρχην βοηθὸν ἔχοιεν οἱ Ἀλεξάνδρο
παῖδες. ⟨550⟩ συνελογίζετο δὲ τὸ ἑαυτοῦ μῖσος κα

§ 556 = Ant. Iud. XVII 13.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

πολλὰ πρὸς ὀργὴν ἀποκρινάμενος ἀπελαύνει τὸν Ἀντίπατρον, αὖθις δ' ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις μεθηρμόσατο, καὶ αὐτῷ μὲν τὴν Ἀριστοβούλου συνῴκισε θυγατέρα, τὸν δ' υἱὸν αὐτοῦ τῇ Φερώρα θυγατρί.

6 ⟨566⟩ καταμάθοι δ' ἄν τις ὅσον ἴσχυσεν ἐν τούτῳ κολακεύων Ἀντίπατρος, ἐκ τοῦ Σαλώμην ἐν δμοίοις ἀποτυχεῖν. ταύτην γὰρ δή, καίπερ οὖσαν ἀδελφὴν καὶ πολλὰ διὰ Ἰουλίας τῆς Καίσαρος γυναικὸς ἱκετεύουσαν γαμηθῆναι τῷ Ἄραβι Συλλαίῳ, διωμόσατο μὲν ἐχθροτάτην ἕξειν εἰ μὴ παύσαιτο τῆς σπουδῆς, τὸ δὲ τελευταῖον ἄκουσαν Ἀλεξᾷ τινι τῶν φίλων συνῴκισε, καὶ τῶν θυγατέρων αὐτῆς τὴν μὲν τῷ Ἀλεξᾷ παιδί, τὴν δ' ἑτέραν τῷ πρὸς μητρὸς Ἀντιπάτρου θείῳ. τῶν δ' ἐκ Μαριάμμης θυγατέρων ἡ μὲν ἀδελφῆς υἱὸν Ἀντίπατρον εἶχεν, ἡ δ' ἀδελφοῦ Φασάηλον.

29 ⟨567⟩ διακόψας δὲ τὰς τῶν ὀρφανῶν ἐλπίδας ὁ Ἀντίπατρος, καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος, ὡς ἐπὶ βεβαίοις μὲν ὥρμει ταῖς ἐλπίσι, προσλαβὼν δὲ τῇ κακίᾳ τὸ πεποιθὸς ἀφόρητος ἦν· τὸ γὰρ ἑκάστου μῖσος ἀποσκευάσασθαι μὴ δυνάμενος, ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν ἐπορίζετο. συνήργει δὲ καὶ Φερώρας ὡς ἂν ἤδη βασιλεῖ βεβαίῳ. ⟨568⟩ γίγνεται δὲ καὶ γυναικῶν σύνταγμα κατὰ τὴν αὐλήν, ὃ νεωτέρους ἐκίνησε θορύβους. ἡ γὰρ Φερώρα γυνή, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα τὴν Ἀντιπάτρου μητέρα, πολλὰ μὲν ἠσέλγαινε κατὰ τὸ βασίλειον, ἐτόλμησε δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας· δι' ἃ δὴ μάλιστα ταύτην ἐκεῖνος προβέβλητο· μισούμεναί γε μὴν ὑπ' αὐτοῦ τῶν ἄλλων

§ 566 = Ant. Iud. XVII 10. § 567 = Ant. Iud. XVII 33.
§ 568 = Ant. Iud. XVII 38.

ἐπεκράτουν. ⟨569⟩ μόνη δὲ τῆς ὁμονοίας αὐτῶν ἀντίπαλος ἦν Σαλώμη, καὶ βασιλεῖ διέβαλλε τὴν σύνοδον, ὡς οὐκ ἐπ' ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. γνοῦσαι δ' ἐκεῖναι τὴν διαβολήν, καὶ ὡς ἀγανακτήσειεν Ἡρώδης, τῆς μὲν φανερᾶς συνόδου καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τοὐναντίον δ' ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκούοντος βασιλέως, αἷς συνυπεκρίνετο καὶ Ἀντίπατρος, ἐν τῷ φανερῷ προσκρούων Φερώρᾳ· ⟨570⟩ συνουσίαι δ' ἦσαν αὐτῶν λάθρᾳ καὶ κῶμοι νυκτερινοί, τὴν θ' ὁμόνοιαν ἡ παρατήρησις ἐπέτεινεν. ἠγνόει δ' οὐδὲν Σαλώμη τῶν πραττομένων, καὶ πάνθ' Ἡρῴδῃ διήγγελλεν.

⟨571⟩ ἐξεκαίετο δ' ἐκεῖνος εἰς ὀργήν, καὶ μάλιστα ἐπὶ τὴν Φερώρα γυναῖκα· ταύτην γὰρ πλέον ἡ Σαλώμη διέβαλλεν. ἀθροίσας οὖν συνέδριον τῶν τε φίλων καὶ συγγενῶν, ἄλλα τε πολλὰ τῆς ἀνθρώπου κατηγόρει καὶ τὴν εἰς τὰς αὐτοῦ θυγατέρας ὕβριν, ὅτι τε Φαρισαίοις μὲν χορηγήσειε μισθοὺς κατ' αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτῷ κατασκευάσειε πολέμιον, ἐνδησαμένῃ φαρμάκοις. ⟨572⟩ τελευταῖον δ' εἰς Φερώραν ἀπέστρεφε τὸν λόγον, δυοῖν θάτερον ἑλέσθαι λέγων, ἢ ἑαυτὸν τὸν ἀδελφὸν ἢ τὴν γυναῖκα. τοῦ δὲ θᾶττον ἀπολείψειν τὸ ζῆν ἢ τὴν γυναῖκα φήσαντος, οὐκ ἔχων ὅ τι χρὴ δρᾶν, μετέβαινεν ἐπ' Ἀντίπατρον, ᾧ παρήγγειλε μήτε τῇ Φερώρα γυναικὶ μήτ' αὐτῷ μήτ' ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι. ὁ δὲ φανερῶς μὲν οὐ μετέβαινε τὸ πρόσταγμα, λάθρᾳ δὲ διενυκτέρευε σὺν ἐκείνοις. ⟨573⟩ καὶ δεδοικὼς ἐπιτηροῦσαν τὴν Σαλώμην πραγματεύεται διὰ τῶν ἐπὶ τῆς Ἰταλίας φίλων τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῷ. γραψάντων γὰρ

§ 571 = Ant. Iud. XVII 46.

ἐκείνων δεῖν Ἀντίπατρον πεμφθῆναι διὰ χρόνου πρὸς Καίσαρα, ὃ δ' οὔ τι μελλήσας ἐξέπεμψε, θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα, τήν τε διαθήκην κομίζειν, ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο, Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς.

3 ⟨574⟩ ἔπλευσε δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἠμελημένως μὲν τῶν Καίσαρος προσταγμάτων, ἀναγωνιούμενος δὲ πρὸς Ἀντίπατρον περὶ ὧν ἐδεδίκασσο Νικολάῳ τάχιον. οὐ μικρὸς δ' αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν αὐτοῦ βασιλέα· τούτου γὰρ ἄλλους τε φίλους ἀνῃρήκει καὶ Σόαιμον, τῶν ἐν Πέτρᾳ δυνατωτάτων. ⟨575⟩ πείσας δὲ πολλοῖς χρήμασι Φάβατον τὸν Καίσαρος διοικητήν, ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρῴδου. πλείονα δὲ δοὺς Ἡρώδης ἀφίστησί τ' ἀπὸ Συλλαίου Φάβατον, καὶ δι' αὐτοῦ τὰ κελευσθέντα ὑπὸ Καίσαρος εἰσέπραττεν. ὃ δὲ μηδὲν ἀποδοὺς ἔτι καὶ κατηγόρει Φαβάτου πρὸς Καίσαρα, διοικητὴν εἶναι λέγων οὐ τῶν ἐκείνῳ, τῶν δ' Ἡρῴδῃ συμφερόντων ἐφ' οἷς ὀργισθεὶς Φάβατος ⟨576⟩ (ἦν δ' ἔτι παρ' Ἡρῴδῃ μάλιστα τιμώμενος) γίγνεται προδότης Συλλαίου τῶν ἀπορρήτων, τῷ τε βασιλεῖ φησιν ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα Κόρινθον χρήμασιν, ὃν δεῖ φυλάττεσθαι. πείθεται δ' ὁ βασιλεύς· καὶ γὰρ ἐτέθραπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. ⟨577⟩ συλλαμβάνει δ' εὐθέως οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δύ' ἑτέρους Ἄραβας, εὐφυᾶ παρ' αὐτῷ, τὸν μὲν φίλον Συλλαίου τὸν δὲ φύλαρχον· οἳ δὲ βασανιζόμενοι πεῖσαι Κόρινθον ὡμολόγησαν ἐκ πολλοῖς χρήμασιν Ἡρῴδην ἀνελεῖν. ⟨578⟩ οὗτοι μὲ

§ 574 = Ant. Iud. XVII 54.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

μητέρα ταύτης καὶ τὴν ἀδελφὴν γύναιον ἐκ τῆς Ἀραβίας φαρμάκων ἔμπειρον, ὅπως φίλτρον σκευάσῃ τῷ Φερώρᾳ, δεδωκέναι δ' ἀντὶ τούτου θανάσιμον Σύλλαίου πραγματευσαμένου· τούτῳ γὰρ ἦν γνώριμον.

2 ⟨584⟩ πληγεὶς οὖν ὁ βασιλεὺς ὑποψίαις πλείοσι, θεραπαίνας τε καί τινας τῶν ἐλευθέρων ἐβασάνιζεν. ἐβόα δέ τις ἐν ταῖς ἀλγηδόσι 'θεὸς ὁ γῆν καὶ οὐρανὸν διέπων μετέλθοι τὴν τούτων ἡμῖν τῶν κακῶν αἰτίαν, τὴν Ἀντιπάτρου μητέρα.' ταύτης τῆς ἀρᾶς ὁ βασιλεὺς λαβόμενος ἐπεξῄει πρόσω τὴν ἀληθῶς ἐπιζητῶν. ⟨585⟩ ἡ δὲ γυνὴ τήν τε φιλίαν τῆς Ἀντιπάτρου μητρὸς πρὸς Φερώραν καὶ τὰς ἐκείνου γυναῖκας ἐδήλου, καὶ τὰς λαθραίας αὐτῶν συνόδους, ὅτι τε Φερώρας καὶ Ἀντίπατρος σὺν ἐκείναις πίνοιεν, ὑποστρέφοντες ἀπὸ τοῦ βασιλέως, δι' ὅλης τῆς νυκτός, μηδένα μήτ' οἰκέτην μήτε θεράπαιναν ἐῶντες παρατυγχάνειν· μία δὴ τῶν ἐλευθέρων ταῦτα μηνύει.

3 ⟨586⟩ τὰς δὲ δούλας χωρὶς ἑκάστην Ἡρώδης ἐβασάνιζεν. ἐρρήθη δὲ παρὰ πάσαις τὰ προειρημένα συμφώνως, καὶ διότι κατὰ συνθήκην Ἀντίπατρος μὲν εἰς Ῥώμην Φερώρας δ' ὑποχωρήσειεν εἰς τὴν Περαίαν· πολλάκις γὰρ αὐτοὺς διαλαλεῖν ὡς μετ' Ἀλεξάνδρου καὶ Ἀριστόβουλον ἐπ' αὐτοὺς Ἡρώδης μεταβήσεται καὶ τὰς αὐτῶν γυναῖκας· οὐ γὰρ φείσεσθαι μετὰ Μαριάμμην καὶ τοὺς ἐξ ἐκείνης ἑτέρου τινός, ὥστ' ἄμεινον εἶναι ὡς πορρωτάτω φυγεῖν τοῦ θηρίου. ⟨587⟩ καὶ λάκις δ' ἀποδυρόμενον πρὸς τὴν μητέρα τὸν Ἀντι πατρον εἰπεῖν ὡς αὐτὸς μὲν εἴη πολιὸς ἤδη, νεάζοι δ καθ' ἡμέραν ὁ πατήρ, φθάσαι δ' ἂν τάχα καὶ τελευ τήσας πρὶν ἄρξασθαι βασιλείας ἀληθοῦς· εἰ δὲ κα

§ 586 = Ant. Iud. XVII 66.

ποτ' ἐκεῖνος τελευτήσειε (πότε δ' ἂν γενέσθαι τοῦτο;) παντάπασιν αὐτῷ τὴν ἀπόλαυσιν τῆς διαδοχῆς γενέσθαι σύντομον. ⟨588⟩ ὑποβλαστάνειν δὲ τὰς τῆς ὕδρας κεφαλάς, τοὺς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου παῖδας. ἀφῃρῆσθαι δ' αὐτὸν ὑπὸ τοῦ πατρὸς καὶ τὴν ἐπὶ τέκνοις ἐλπίδα· διάδοχον γὰρ οὐ τῶν αὐτοῦ τινα παίδων μετὰ τὴν τελευτήν, ἀλλὰ τὸν ἐκ Μαριάμμης Ἡρώδην γεγραφέναι. καὶ κατὰ τοῦτό γε παντάπασι παραγηρᾶν, οἰόμενον αὐτοῦ καὶ τὰς διαθήκας μενεῖν κυρίας· αὐτὸν γὰρ προνοήσειν μηδένα τῆς γενεᾶς ἀπολιπεῖν. ⟨589⟩ ὄντα γε μὴν τῶν πώποτε πατέρων μισοτεκνότατον Ἡρώδην πολλῷ μᾶλλον εἶναι μισάδελφον· δοῦναι γοῦν αὐτῷ πρῴην ἑκατὸν τάλαντα ἐπὶ τῷ μὴ διαλέγεσθαι Φερώρᾳ. τοῦ δ' εἰπόντος 'τί γὰρ αὐτὸν ἐβλάπτομεν;' ἀποκρίνασθαι τὸν Ἀντίπατρον 'εἴθε πάνθ' ἡμᾶς ἀφελόμενος γυμνοὺς ἐάσειε ζῶντας. ἀλλ' ἀμήχανον ἐκφυγεῖν οὕτω φονικὸν θηρίον, παρ' ᾧ μηδὲ φιλεῖν τινας ἔξεστι φανερῶς. λάθρᾳ γοῦν ὧν ἀλλήλοις σύνεσμεν, ἐξέσται δὲ φανερῶς, ἐὰν ἡμέν ποτ' ἀνδρῶν φρόνημα καὶ χεῖρας.'

⟨590⟩ ταῦτ' ἔλεγον αἱ βασανιζόμεναι, καὶ ὅτι Φε- 4
ρώρας βουλεύσαιτο φυγεῖν μετ' αὐτῶν εἰς Πέτραν. ἐπίστευσε δὲ πᾶσιν Ἡρώδης τοῖς λεγομένοις ἐκ τῶν ἑκατὸν ταλάντων· μόνῳ γὰρ Ἀντιπάτρῳ διείλεκτο περὶ αὐτῶν. ἀποσκήπτει δ' εἰς πρώτην ὁ θυμὸς Δωρίδα τὴν Ἀντιπάτρου μητέρα· καὶ γυμνώσας αὐτὴν παντὸς οὗ ἐσθῆτο κόσμου (πολλῶν δ' ἦν ταλάντων) ἐκβάλλει δεύτερον. ⟨591⟩ τὰς δὲ Φερώρα γυναῖκας ἀπὸ τῶν βασάνων ἐτημέλει διηλλαγμένος. ἐπτόητο δὲ τῷ φόβῳ, καὶ πρὸς πᾶσαν ὑπόνοιαν ἐξερριπίζετο, πολλούς

§ 590 = Ant. Iud. XVII 68.

τε τῶν οὐκ αἰτίων εἶλκεν εἰς βασάνους, δεδοικὼς μή τινα τῶν αἰτίων παραλίπῃ.

5 ⟨592⟩ κἀν τούτῳ τρέπεται πρὸς τὸν Σαμαρείτην Ἀντίπατρον, ὃς ἦν ἐπίτροπος Ἀντιπάτρου. βασανίζων δ' αὐτὸν ἤκουσεν ὅτι μεταπέμψαιτο μὲν Ἀντίπατρος ἐξ Αἰγύπτου δηλητήριον φάρμακον ἐπ' αὐτὸν διά τινος τῶν ἑταίρων Ἀντιφίλου, λάβοι δὲ παρ' ἐκείνου Θευδίων ὁ θεῖος Ἀντιπάτρου, καὶ παραδοίη Φερώρᾳ· τούτῳ γὰρ ἐντείλασθαι τὸν Ἀντίπατρον Ἡρώδην ἀνελεῖν, ἕως αὐτός ἐστιν ἐν Ῥώμῃ τῆς ὑπονοίας κεχωρισμένος, Φερώραν δὲ παραθέσθαι τῇ γυναικὶ τὸ φάρμακον. ⟨593⟩ ταύτην οὖν ὁ βασιλεὺς μεταπεμψάμενος αὐτίκα τὸ λειφθὲν ἐκέλευσε κομίζειν. ἡ δ' ἔξεισι μὲν ὡς κομιοῦσα, ῥίπτει δ' ἑαυτὴν ἀπὸ τοῦ τέγους, τόν τ' ἔλεγχον καὶ τὴν ἐκ τοῦ βασιλέως αἰκίαν φθάνουσα προνοίᾳ δ', ὡς ἔοικε, θεοῦ μετιόντος Ἀντίπατρον οὐκ ἐπὶ κεφαλὴν ἀλλ' ἐπὶ θάτερα πεσοῦσα διασώζεται. ⟨594⟩ κομισθεῖσαν δ' αὐτὴν ὁ βασιλεὺς ἀνακτησάμενος (κεκάρωτο γὰρ ἐκ τοῦ πτώματος) ἠρώτα δι' ἣν αἰτίαν ῥίψειεν ἑαυτήν, εἰ μὲν εἴποι τἀληθές, ἀφήσειν πάσης τιμωρίας ἐπομνύμενος, εἰ δ' ὑποστείλαιτο, δαπανήσειν αὐτῆς ἐν βασάνοις τὸ σῶμα καὶ μηδὲ τάφῳ καταλείψειν.

6 ⟨595⟩ πρὸς ταῦθ' ἡ γυνὴ διαλιποῦσα μικρόν, 'καὶ τί γάρ' εἶπεν 'ἔτι φείδομαι τῶν ἀπορρήτων, Φερώρα τεθνεῶτος, ἢ σώζουσα τὸν ἀπολέσαντα πάντας ἡμᾶς Ἀντίπατρον; ἄκουε, βασιλεῦ, καὶ μετὰ σοῦ θεός, μάρτυς ἐμοὶ τῆς ἀληθείας, πλανηθῆναι μὴ δυνάμενος ⟨596⟩ ὅτ' ἀποθνήσκοντι Φερώρᾳ παρεκαθέζου δεδακρυμένος, τότε με προσκαλεσάμενος ἐκεῖνος 'ἦ πολ

§ 592 = Ant. Iud. XVII 69.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ζων δ' ἦκεν ἄλλο δηλητήριον, ἰοὺς ἀσπίδων καὶ χυλοὺ
ἑτέρων ἑρπετῶν, ἵν' εἰ τὸ πρῶτον ἀσθενήσειε φάρ
μακον, τούτῳ Φερώρας μετὰ τῆς γυναικὸς ὁπλίσαιτ
κατὰ τοῦ βασιλέως. ⟨602⟩ πάρεργον δὲ τῆς ἐπὶ τὸ
πατέρα τόλμης ἐκόμιζε τὰς κατὰ τῶν ἀδελφῶν ἐσκευω
ρημένας ἐπιστολὰς ὑπ' Ἀντιπάτρου. ἦσαν δ' Ἀρχ
λαος καὶ Φίλιππος βασιλέως παῖδες ἐπὶ Ῥώμης κα
δευόμενοι, μειράκιά τ' ἤδη καὶ φρονήματος μεστ
⟨603⟩ τούτους ἐπανακύπτοντας αὐτοῦ ταῖς ἐλπίσι
ἀποσκευάσασθαι σπεύδων Ἀντίπατρος ἃς μὲν πλάττεσ
κατ' αὐτῶν ἐπιστολὰς ἐξ ὀνόματος τῶν ἐπὶ Ῥώμη
φίλων, οὓς δὲ πείθει γράψαι διαφθείρας χρήμασι
ὡς πολλὰ μὲν βλασφημοῖεν τὸν πατέρα, φανερῶς δ
Ἀλέξανδρον καὶ Ἀριστόβουλον ὀδύροιντο, πρός τε τὴ
μετάκλησιν ἀγαναχτοῖεν. ἤδη δ' αὐτοὺς ὁ πατὴρ με
τεπέπεμπτο, καὶ τοῦτ' ἦν τὸ μάλιστα ταράττον Ἀντι
πατρον.

2 ⟨604⟩ ἔτι δὲ καὶ πρὸ τῆς ἀποδημίας, ἐν Ἰουδαί
μένων, τοιαύτας κατ' αὐτῶν ἀπὸ Ῥώμης ἠγόραζεν ἐπ
στολάς, καὶ προσιὼν τέως ἀνύποπτος ἦν τῷ πατρ
περὶ τῶν ἀδελφῶν δ' ἀπελογεῖτο, τὰ μὲν ψευδῆ λέγε
εἶναι τῶν γραφομένων, τὰ δὲ νεότητος ἁμαρτήματ
⟨605⟩ τηνικαῦτά γε μὴν τοῖς γράφουσι κατὰ τῶ
ἀδελφῶν πλεῖστα δοὺς χρήματα, συμφύρειν ἐπειρᾶτ
τὸν ἔλεγχον, ἐσθῆτάς τε πολυτελεῖς καὶ στρωμνὰ
ποικίλας ἐκπώματά τ' ἀργυρᾶ καὶ χρυσᾶ συνωνούμενο
ἄλλα τε πολλὰ τῶν κειμηλίων, ἵνα τῷ πλήθει τῆς κ
ταῦτα δαπάνης τοὺς εἰς ἐκεῖνα μισθοὺς ἐγκαταφύφ
διακόσια γοῦν ἀναλώματος ἀνήνεγκε τάλαντα, καὶ τοσ
των μεγίστη πρόφασις ἦν ἡ πρὸς Συλλαῖον δέ

§ 604 = Ant. Iud. XVII 81.

⟨606⟩ πάντων δ' αὐτοῦ τότε καὶ τῶν βραχυτέρων ἐν τῷ μείζονι κακῷ διακαλυφθέντων, ὅθ' αἱ μὲν βάσανοι πᾶσαι τὴν πατροκτονίαν, αἱ δ' ἐπιστολαὶ δευτέρας ἀδελφοκτονίας κεκράγεσαν, ὅμως οὐδεὶς τῶν εἰς Ῥώμην ἀφικνουμένων ἀπήγγειλεν αὐτῷ τὰς ἐν Ἰουδαίᾳ τύχας, καίτοι μεταξὺ τῶν ἐλέγχων καὶ τῆς ἐπανόδου διελθόντων ἔτη μῆνας· τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων φόβος ἦν. ⟨607⟩ τάχα δὲ καὶ τοὺς ἀπαγγέλλειν προαιρουμένους οἱ τῶν ἀνῃρημένων δαίμονες ἀδελφῶν ἐφίμουν. γράφει γοῦν ἀπὸ Ῥώμης ἄφιξιν αὐτοῦ ταύταν εὐαγγελιζόμενος, καὶ ὡς ὑπὸ Καίσαρος μετὰ τιμῆς ἀπολυθείη.

⟨608⟩ βασιλεὺς δ' εἰς χεῖρας λαβεῖν σπεύδων τὸν ἐπίβουλον, καὶ δεδοικὼς μή ποτε προγνοὺς φυλάξηται, τ' ἐπιστολῆς ἀνθυπεκρίνετο, τά τ' ἄλλα φιλοφρονούμενος καὶ σπεύδειν παρακαλῶν· θήσεσθαι γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις ἐπειχθέντος. οὐ γὰρ ἠγνόει τὴν ἐκβολὴν τῆς μητρὸς Ἀντίπατρος. ⟨609⟩ πρότερον μὲν οὖν εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν Τάραντι, καὶ μέγιστον ἐποιήσατο πένθος, ὅ τινες ὡς ἐπὶ θείῳ καθύμνουν. ἦν δ', ὡς ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις, καὶ οὐ Φερώραν κλαίοντος ἀλλὰ τὸν ὑπηρέτην. ἤδη δὲ καὶ φόβος ἐπῄει τις αὐτὸν τῶν τετελεσμένων, μή ποτε [illegible]θείη τὸ φάρμακον. ⟨610⟩ τότε δ' ἐν Κιλικίᾳ [illegible] ἣν προειρήκαμεν παρὰ τοῦ πατρὸς ἐπιστολήν, [illegible]ρημα μὲν ἔσπευδεν· ὡς δ' εἰς Κελένδεριν κατέ[illegible] λαμβάνει τις αὐτὸν ἔννοια τῶν περὶ τὴν μητέρα [illegible], προμαντευομένης ἤδη καὶ καθ' ἑαυτῆς [τῆς [illegible]. ⟨611⟩ οἱ μὲν οὖν προμηθέστεροι τῶν φίλων

§ 608 = Ant. Iud. XVII 83. § 610 = Ant. Iud. XVII 85.

συνεβούλευον μὴ πρότερον ἐμπίπτειν τῷ πατρὶ πρ
πυθέσθαι σαφῶς δι' ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τ
μητέρα· δεδιέναι γὰρ μή ποτε προσθήκη γένοιτο τ
κατ' ἐκείνης διαβολῶν. ⟨612⟩ οἱ δ' ἀσκεπτότεροι, κ
τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον ἢ τὸ συμφέρ
Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρῄνουν, καὶ
τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύλ
τοῖς διαβάλλουσι δ' ἀφορμήν· καὶ γὰρ νῦν εἴ τι
κίνηται κατ' αὐτοῦ, παρὰ τὴν ἀπουσίαν γεγονέν
μηδὲ γὰρ ἂν τολμῆσαι παρόντος. ἄτοπον δ' εἶναι
ἀδήλους ὑποψίας προδήλων ἀγαθῶν στερίσκεσθαι, κ
μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρί, κομ
σασθαι δὲ τὴν βασιλείαν ἐπ' αὐτῷ μόνῳ σαλευούσα
⟨613⟩ πείθεται τούτοις (ἐνῆγε γὰρ τὸ δαιμόνιον), κ
διαπεράσας εἰς τὸν Σεβαστὸν λιμένα τῆς Καισαρεί
κατάγεται.

4 ⟨614⟩ παρυπήντησε δ' αὐτῷ παρὰ δόξαν ἐρημ
πολλή, πάντων ἐκτρεπομένων καὶ μηδενὸς προσιέν
τολμῶντος· ἐμισεῖτο μὲν γὰρ ἐπ' ἴσης, καὶ τότε φ
νῆναι τὸ μῖσος ἔσχε παρρησίαν. πολλοὺς δ' ὁ ἐκ π
βασιλέως φόβος ἀπέστρεφεν, ἐπειδὴ πᾶσα πόλις ἦ
τῆς κατ' Ἀντιπάτρου φήμης πεπλήρωτο, καὶ μόν
ἠγνόει τὰ καθ' ἑαυτὸν Ἀντίπατρος· οὔτε γὰρ πρ
πέμφθη λαμπρότερόν τις ἐκείνου πλέοντος ἐπὶ Ῥώμ
οὔτ' ἀτιμότερον ὑπεδέχθη. ⟨615⟩ ὃ δ' ἤδη μὲν ὑ
νόει τὰς οἴκοι συμφοράς, ἔτι δ' ἐκ πανουργίας ὑ
κρύπτετο, καὶ τῷ δέει τεθνηκὼς ἔνδοθεν σοβαρὸς εἰ
τὸ πρόσωπον ἐβιάζετο. ⟨616⟩ φυγὴ δ' ἦν οὐπ
οὐδ' ἐκ τῶν περιεχόντων ἀνάδυσις. καὶ σαφὲς
οὐδ' ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο διὰ τὴν ἐκ

§ 614 = Ant. Iud. XVII 89.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

πρὸς αὐτόν, ἂν μή τινα πορίσῃ παρὰ Καίσαρος δύνα
μιν.' ⟨621⟩ τούτων σὺν τοῖς ἄλλοις εἰσηγμένων Ἀντι
πατρος εἰσέρχεται, καὶ πεσὼν πρηνὴς πρὸ τῶν ποδῶ
τοῦ πατρός 'ἱκετεύω, πάτερ', ἔφη, 'μηδέν μου προ
κατεγνωκέναι, παρασχεῖν δέ μοι τὰς ἀκοὰς ἀκεραίου
εἰς τὴν ἀπολογίαν· ἀποδείξω γὰρ ἐμαυτὸν καθαρόν
ἂν σὺ θέλῃς.'

2 ⟨622⟩ Ὁ δ' αὐτῷ σιγᾶν ἐγκραγὼν πρὸς τὸν Ὦρο
εἶπεν 'ἀλλ' ὅτι μὲν καὶ σύ, Ὦρε, καὶ πᾶς δικαστὴ
ὅσιος Ἀντίπατρον ἐξώλη κρίνει πέπεισμαι· δέδοικα δ
μὴ κἀμοῦ μισήσῃς τὴν τύχην, κἀμὲ κρίνῃς πάσης ἄξιο
συμφορᾶς, τοιούτους υἱοὺς γεγεννηκότα. χρὴ δέ μ
διὰ τοῦτο ἐλεεῖσθαι μᾶλλον, ὅτι πρὸς οὕτω μιαροῦ
καὶ φιλοστοργότατος πατὴρ ἐγενόμην. ⟨623⟩ τοὺς μὲ
γὰρ προτέρους βασιλείας τ' ἔτι νέους ἀξιώσας, κα
πρὸς τοῖς ἐν Ῥώμῃ τροφείοις φίλους Καίσαρος ξηλω
τούς τε ποιήσας βασιλεῦσιν ἑτέροις, εὗρον ἐπιβούλου
οἳ τεθνήκασι τὸ πλέον Ἀντιπάτρῳ· νέῳ γὰρ ὄντι κα
διαδόχῳ τούτῳ μάλιστα τὴν ἀσφάλειαν ἐποριζόμη
⟨624⟩ τὸ δὲ μιαρὸν τοῦτο θηρίον τῆς ἐμῆς ὑπερεμ
πλησθὲν ἀνεξικακίας ἤνεγκε κατ' ἐμοῦ τὸν κόρο
ἔδοξα γὰρ αὐτῷ πολὺν ζῆν χρόνον, καὶ τοὐμὸν γῆρα
ἐβαρύνθη, βασιλεύς τ' οὐχ ὑπέμεινεν, εἰ μὴ διὰ πα
τροκτονίας, γενέσθαι, δίκαιά γε βουλευσάμενος, ὅτ
καταγαγὼν αὐτὸν ἐκ τῆς χώρας ἀπερριμμένον, κα
παρωσάμενος τοὺς ἐκ βασιλίδος μοι γεγεννημένου
ἀπέδειξα τῆς ἀρχῆς διάδοχον. ⟨625⟩ ἐξομολογοῦμα
σοι, Ὦρε, τὴν ἐμαυτοῦ φρενοβλάβειαν. ἐγὼ γὰρ τοὺ
υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα, δικαίας αὐτο
ἀποκόψας ἐλπίδας δι' Ἀντίπατρον. καὶ τί μὲν ἐκείνοι

§ 622 = Ant. Iud. XVII 94 sq.

ὑπηρέτησα τηλικοῦτον ἡλίκον τοῦτον; ᾧ γε ξῶν μὲν ὀλίγου δεῖν παρεχώρησα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις ἐνέγραψα τῆς ἀρχῆς διάδοχον, καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα ταλάντων ἔνειμα, τῶν δ' ἐμῶν ἐφρόντισα χρημάτων ἀνέδην, πλέοντι δὲ νῦν εἰς Ῥώμην ἔδωκα τριακόσια τάλαντα, Καίσαρι δ' ἐξ ὅλης τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. ⟨626⟩ τί δ' ἐκεῖνοι τοιοῦτον ἠσέβησαν οἷον Ἀντίπατρος; ἢ τίς ἔλεγχος ἠνέχθη κατ' αὐτῶν ἡλίκος ἀποδεῖκνυσι τοῦτον ἐπίβουλον; ⟨627⟩ ἀλλὰ φθέγγεσθαί τι τετόλμηκεν ὁ πατροκτόνος, καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικαλύψειν ἐλπίζει. Ὄαρε, σοὶ φυλακτέον· ἐγὼ γὰρ οἶδα τὸ θηρίον, καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν καὶ τὸν ἐπίπλαστον ὀλοφυρμόν. οὗτός ἐστιν ὁ παραινῶν ἐμοί ποτε φυλάττεσθαι ζῶντα Ἀλέξανδρον καὶ μὴ πᾶσι πιστεύειν τὸ σῶμα· οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων, καὶ μή μέ τις ἐνεδρεύοι περιβλέπων· οὗτος ὁ ταμίας τῶν ὕπνων καὶ χορηγὸς τῆς ἀμεριμνίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνηρημένοις λύπην καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀπίστων, ὁ ὑπερασπιστὴς οὑμός, ὁ σωματοφύλαξ. ⟨628⟩ ὅταν ἀναμνησθῶ, Ὄαρε, τὸ πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται, καὶ θαυμάζω πῶς οὕτω βαθὺν ἐπίβουλον διέφυγον. ἀλλ' ἐπεὶ θαίμων τις ἐξερημοῖ τὸν ἐμὸν οἶκον καί μοι τοὺς φιλτάτους ἐπανίστησιν ἀεί, κλαύσομαι μὲν ἐγὼ τὴν ἔρημον εἱμαρμένην καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν, διαφεύξεται δ' οὐδεὶς διψήσας τοὐμὸν αἷμα, κἂν διὰ πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ.'

⟨629⟩ τοιαῦτα λέγων αὐτὸς μὲν ὑπὸ συγχύσεως 3

§ 629 — Ant. Ind. XVII 99.

ἐνεκόπη, Νικολάῳ δ', ἑνὶ τῶν φίλων, λέγειν τὰς ἀπο
δείξεις ἐκέλευε. μεταξὺ δ' ὁ Ἀντίπατρος ἐπάρας τὴ
κεφαλήν (ἔμενε γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶ
τοῦ πατρός) ἐβόα ⟨630⟩ 'σύ, πάτερ, ὑπὲρ ἐμοῦ πε
ποίησαι τὴν ἀπολογίαν. πῶς γὰρ ἐγὼ πατροκτόνος
ὃν ὁμολογεῖς αὐτὸς φύλακα διὰ παντὸς ἐσχηκέναι
τερατείαν δέ μου καὶ ὑπόκρισιν λέγεις τὴν εὐσέβειαι
πῶς οὖν ὁ πανοῦργος οὕτως ἐν τοῖς ἄλλοις ἄφρω
ἐγενόμην, ὡς μὴ νοεῖν ὅτι λαθεῖν οὐδ' ἀνθρώπου
ῥᾴδιον τηλικοῦτον μύσος ἐνσκευαζόμενον, τὸν δ' ἀπ
οὐρανοῦ δικαστὴν ἀμήχανον, ὃς ἐφορᾷ πάντα καὶ παν
ταχοῦ πάρεστιν; ⟨631⟩ ἢ τὸ τῶν ἀδελφῶν τέλο
ἡγνόουν, οὓς ὁ θεὸς οὕτω μετῆλθε τῆς εἰς σὲ κακο
βουλίας; τί δέ με καὶ παρώξυνε κατὰ σοῦ; βασιλεία
ἐλπίς; ἀλλ' ἐβασίλευον. ὑπόνοια μίσους; οὐ γὰρ ἐστερ
γόμην; φόβος ἐκ σοῦ τις ἄλλος; ἀλλὰ μὴν σὲ τηρῶ
ἑτέροις φοβερὸς ἦμην. ἔνδεια χρημάτων; καὶ τίν
μᾶλλον ἐξῆν ἀναλίσκειν; ⟨632⟩ εἰ δ' ἐξωλέστατο
πάντων ἀνθρώπων ἐγενόμην καὶ θηρίου ψυχὴν εἶχο
ἀνημέρου, πάτερ, οὐκ ἂν ταῖς σαῖς εὐεργεσίαις ἐκηλή
θην, ὃν κατήγαγες μέν, ὡς ἔφης αὐτός, προύκρινας δ
τοσούτων τέκνων, ἀπέδειξας δὲ ζῶν βασιλέα, δι' ὑπερ
βολὴν δὲ τῶν ἄλλων ἀγαθῶν ἐποίησας ἐπίφθονον
⟨633⟩ ὦ τάλας ἐγὼ τῆς πικρᾶς ἀποδημίας, ὡς πολὺ
ἔδωκα καιρὸν τῷ φθόνῳ καὶ μακρὰν τοῖς ἐπιβουλεύ
ουσι διωρίαν. σοὶ δέ, πάτερ, καὶ τοῖς σοῖς ἀγῶσι
ἀπεδήμουν, ἵνα μὴ Συλλαῖος τοῦ σοῦ γήρως κατα
φρονήσῃ. Ῥώμη μοι μάρτυς τῆς εὐσεβείας, καὶ ὁ τῆ
οἰκουμένης προστάτης Καῖσαρ, ὁ φιλοπάτορά με πο
λάκις εἰπών. λαβέ, πάτερ, τὰ παρ αὐτοῦ γράμματ

§ 631 = Ant. Iud. XVII 102. § 633 = Ant. Iud. XVII 1(

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ήσειεν ἀδελφοκτόνον, καὶ τοὺς φιλτάτους τῷ βασι
διαφθείρας ὅλον τοῦ μύσους ἀναπλήσειε τὸν οἶκ
ἄλλα τε πολλὰ πρὸς τούτοις εἰπὼν καὶ ἀποδείξας κα
παύει τὸν λόγον.

5 ⟨639⟩ *Ὄαρος δὲ κελεύσας ἀπολογεῖσθαι τὸν Ἀν*
πατρον, ὡς οὐδὲν πλέον ἐκεῖνος εἰπὼν ἢ 'θεός ἐ
μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς' ἔκειτο σιγῶν, αἰτή
τὸ φάρμακον δίδωσί τινι τῶν ἐπὶ θανάτῳ κατακρι
δεσμώτῃ πιεῖν. ⟨640⟩ *τοῦ δὲ παραχρῆμα τελευ*
σαντος, ὁ μὲν Ὄαρος ἀπορρήτους ποιήσας τὰς π
Ἡρώδην ὁμιλίας, καὶ τὰ περὶ τὸ συνέδριον Καίσα
γράψας, μετὰ μίαν ἡμέραν χωρίζεται· δεσμεῖ δ' ὁ β
σιλεὺς Ἀντίπατρον, καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντ
τὴν συμφορὰν ἐξέπεμψεν.

6 ⟨641⟩ *μετὰ δὲ ταῦτα καὶ κατὰ Σαλώμης ἐπίβουλ*
Ἀντίπατρος εὑρίσκεται. τῶν γὰρ Ἀντιφίλου τις οἰκετ
ἦκεν ἐπιστολὰς κομίζων ἀπὸ Ῥώμης παρὰ Ἰουλίας
ραπαινίδος, Ἀχμῆς τοὔνομα. καὶ παρὰ μὲν ταύτ
ἐπέσταλτο τῷ βασιλεῖ τὰς παρὰ Σαλώμης ἐπιστολὰς
τοῖς Ἰουλίας εὑρηκέναι γράμμασι, πεπομφέναι τ' αὐ
λάθρᾳ δι' εὔνοιαν· ⟨642⟩ *αἱ δὲ τῆς Σαλώμης λοιδ*
ρίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας καὶ κατ
γορίαν μεγίστην. ταύτας δὲ πλάσας Ἀντίπατρος π
τὴν Ἀχμὴν διαφθείρας ἔπεισεν Ἡρώδῃ πέμψαι. ⟨64
διηλέγχθη δ' ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς· καὶ γ
ἐκείνῳ τὸ γύναιον ἔγραψεν 'ὡς ἠβουλήθης, ἔγρα
σου τῷ πατρὶ καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα, π
πεισμένη τὸν βασιλέα μὴ φείσεσθαι τῆς ἀδελφῆς, ὅ
ἀναγνῷ. καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάν
§ 117 = Ant. Iud. XVIII 2 sq. § 120 = Ant. Iud. XVIII 20.

τηδείους, συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσι τοι
ἑαυτῶν ἐντυποῦσι, ⟨121⟩ τὸν μὲν γάμον καὶ τὴν ε
αὐτοῦ διαδοχὴν οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶ
ἀσελγείας φυλαττόμενοι, καὶ μηδεμίαν τηρεῖν πεπει
3 σμένοι τὴν πρὸς ἕνα πίστιν. ⟨122⟩ καταφρονηταὶ δ
πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνικόν
οὐδ' ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα
νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν
τῷ τάγματι τὴν οὐσίαν, ὥστ' ἐν ἅπασι μήτε πενίας
ταπεινότητα φαίνεσθαι μήθ' ὑπεροχὴν πλούτου, τῶν
δ' ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελ-
φοῖς ἅπασιν οὐσίαν εἶναι. ⟨123⟩ κηλῖδα δ' ὑπο-
λαμβάνουσι τοὔλαιον, κἂν ἀλειφθῇ τις ἄκων, σμήχεσθαι
τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευκει-
μονεῖν τε διὰ παντός. χειροτονητοὶ δ' οἱ τῶν κοινῶν
ἐπιμεληταί, καὶ αἱρετοὶ πρὸς ἁπάντων εἰς τὰς χρείας
ἕκαστοι.

4 ⟨124⟩ μία δ' οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν
ἑκάστῃ κατοικοῦσι πολλοί. καὶ τοῖς ἑτέρωθεν ἥκουσιν
αἱρετισταῖς πάντ' ἀναπέπταται τὰ παρ' αὐτοῖς δμοίως
ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν
ὡς συνηθεστάτους· ⟨125⟩ διὸ καὶ ποιοῦνται τὰς ἀπο-
δημίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς
λῃστὰς ἔνοπλοι. κηδεμὼν δ' ἐν ἑκάστῃ πόλει τοῦ
τάγματος ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων
ἐσθῆτα καὶ τἀπιτήδεια. ⟨126⟩ καταστολὴ δὲ καὶ σχῆμα
σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις
παισίν. οὔτε δ' ἐσθῆτας οὔθ' ὑποδήματ' ἀμείβουσιν
πρὶν ἢ διαρραγῆναι τὸ πρότερον παντάπασιν ἢ δια-
νηθῆναι τῷ χρόνῳ. ⟨127⟩ οὐδὲν δ' ἐν ἀλλήλοις οὔτε
ἀγοράζουσιν οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρήζοντι διδοὺς

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

6 ⟨134⟩ τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσταξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος. βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ καθ' ἑαυτοὺς ἐφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν, τὰς δ' εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. ⟨135⟩ ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί. καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου, τὸ δ' ὀμνύειν περιίστανται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ κατεγνῶσθαί φασι τὸ ἀπιστούμενον δίχα θεοῦ. ⟨136⟩ σπουδάζουσι δ' ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τ' ἀλεξητήριοι καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

7 ⟨137⟩ τῷ δὲ ξηλοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. ⟨138⟩ ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δ' εἰς τὰς συμβιώσεις οὐδέπω. μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται, καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. ⟨139⟩ πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια διαφυλάξειν καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτ' ἐξ ἐπιτάγματος, μισήσειν δ' ἀεὶ τοὺς ἀδίκους καὶ

συναγωνιεῖσθαι τοῖς δικαίοις, ⟨140⟩ τὸ πιστὸν ἀεὶ παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ περιγίγνεσθαί τινι τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέποτ' ἐξυβριεῖν εἰς τὴν ἐξουσίαν, μηδ ἐσθῆτι ἢ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρυνεῖσθαι. ⟨141⟩ τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους ἐλέγχειν προβάλλεσθαι. χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς μήθ ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. ⟨142⟩ πρὸς δὲ τούτοις ὄμνυσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν, ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται, ⟨143⟩ τοὺς δ' ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι τοῦ τάγματος. ὁ δ' ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται· τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν, ποηφαγῶν δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθείρεται. ⟨144⟩ διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου τίσιν ἡγούμενοι.

⟨145⟩ περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες, τὸ δ' ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. σέβας δὲ μέγιστον παρ' αὐτοῖς μετὰ τὸν θεὸν τοὔνομα τοῦ νομοθέτου· κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεται θανάτῳ. ⟨146⟩ τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν ἐν καλῷ τίθενται· δέκα γοῦν συγκαθε-

ξομένων, οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέ
〈147〉 καὶ τὸ πτύσαι δ' εἰς μέσους ἢ τὸ δεξιὸν μέρ
φυλάττονται, καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθα
διαφορώτατα Ἰουδαίων ἁπάντων. οὐ μόνον γὰρ τρ
φὰς ἑαυτοῖς πρὸ μιᾶς ἡμέρας παρασκευάζουσιν, ὡς
μηδὲ πῦρ ἐναύοιεν ἐκείνην τὴν ἡμέραν, ἀλλ' οὐδὲ
σκεῦός τι μετακινῆσαι θαρροῦσιν, οὐδ' ἀποπατεῖν.
〈148〉 ταῖς δ' ἄλλαις ἡμέραις βόθρον ὀρύττοντες βά-
θος ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ διδό-
μενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις) καὶ
περικαλύψαντες θολματίῳ, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν
τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτόν, 〈149〉 ἔπειτα τὴν
ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον. καὶ
τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι.
καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων
ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιασμέ-
νοις ἔθιμον.

10 〈150〉 διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς
μοίρας τέτταρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν
προγενεστέρων ἐλαττοῦνται ὥστ', εἰ ψαύσειαν αὐτῶν,
ἐκείνους ἀπολούεσθαι καθάπερ ἀλλοφύλῳ συμφυρέν-
τας. 〈151〉 καὶ μακρόβιοι μὲν ὡς τοὺς πολλοὺς ὑπὲρ
ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης,
ἔμοιγε δοκεῖν, καὶ τὴν εὐταξίαν, καταφρονηταὶ δὲ τῶι
δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονή-
μασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσίοι, νομι
ζοντες ἀθανασίας ἀμείνω. 〈152〉 διήλεγξε δ' αὐτὶ
ἐν ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος, ἐν
στρεβλούμενοί τε καὶ λυγιζόμενοι, καιόμενοί τε
κλώμενοι, καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανισ
ρίων ὀργάνων, ἵν' ἢ βλασφημήσωσι τὸν νομοθέτη

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ἐν τῷ ξῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρί ὑφέξειν.

〈158〉 *ταῦτα μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολ γοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τ*
12 *σοφίας αὐτῶν ἐγκαθιέντες· 〈159〉 εἰσὶ δ' ἐν αὐτ οἳ καὶ τὰ μέλλοντα [προγιγνώσκειν ὑπισχνοῦντ βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητ ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπάνιον δ' εἴ πο ἐν ταῖς προαγορεύσεσιν ἀστοχοῦσιν.*

13 〈160〉 *ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, δίαιτ μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις δμοφρονοῦ διεστὼς δὲ τῇ κατὰ γάμον δόξῃ. μέγιστον γὰρ ἀπ κόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχήν, τοὺ μὴ γαμοῦντας, μᾶλλον δ', εἰ πάντες τὸ αὐτὸ φρον σειαν, ἐκλιπεῖν ἂν ἅπαν τὸ γένος τάχιστα. 〈161〉 δ κιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετάς, ἐπειδὰν τρ καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτ ἄγονται. ταῖς δ' ἐγκύμοσιν οὐχ δμιλοῦσιν, ἐνδεικν μενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χάριν γαμεῖ λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, κ θάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι.*

14 〈162〉 *τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος, δι δὲ τῶν προτέρων Φαρισαῖοι μὲν οἱ δοκοῦντες με ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἀπ γοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτου πάντα, 〈163〉 καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθ δ' εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην· ψυχὴν δὲ πᾶσ μὲν ἄφθαρτον, μεταβαίνειν δ' εἰς ἕτερον σῶμα τ τῶν ἀγαθῶν μόνην, τὰς δὲ τῶν φαύλων ἀιδίῳ τιμω*

§ 162 = Ant. Iud. XVIII 13.

κολάζεσθαι. ⟨164⟩ Σαδδουκαῖοι δέ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι, καὶ τὸν θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ ἐφορᾶν τίθενται, ⟨165⟩ φασὶ δ' ἐπ' ἀνθρώπων ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι, καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. ψυχῆς τε τὴν διαμονὴν καὶ τὰς καθ' Ἅιδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. ⟨166⟩ καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον, αἵ τ' ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους.

⟨167⟩ τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν, τῆς Ἀρχελάου δ' ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν οἱ λοιποί, Φίλιππός τε καὶ Ἡρῴδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας· Σαλώμη γὰρ τελευτῶσα Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τ' αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν καὶ τοὺς ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν. ⟨168⟩ μεταβάσης δ' εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας μετὰ τὴν Αὐγούστου τελευτήν, ἀφηγησαμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντήκοντα, πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δυοῖν, διαμείναντες ἐν ταῖς τετραρχίαις ὅ τε Ἡρῴδης καὶ ὁ Φίλιππος, ὁ μὲν πρὸς ταῖς Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν, κἀν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα, Ἡρῴδης δ' ἐν μὲν τῇ Γαλιλαίᾳ Τιβεριάδα, ἐν δὲ τῇ Περαίᾳ φερώνυμον Ἰουλίας.

⟨169⟩ πεμφθεὶς δ' εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ 2
Τιβερίου Πιλᾶτος νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσό-

§ 167 sq. = Ant. Iud. XVIII 24 sq. 31 sq. 56. § 169 = Ant. Iud. XVIII 35. 55.

λυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, αἳ σημαῖαι καλοῦνται. ⟨170⟩ τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίοις· οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν ὡς πεπατημένων αὐτοῖς τῶν νόμων (οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι), καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἄθρους ὁ ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. ⟨171⟩ ὁρμήσαντες δὲ πρὸς τὸν Πιλᾶτον εἰς Καισάρειαν ἱκέτευον ἐξενεγκεῖν ἐξ Ἱεροσολύμων τὰς σημαίας καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες ἐπὶ πένθ' ἡμέρας καὶ νύκτας
3 ἴσας ἀκίνητοι διεκαρτέρουν. ⟨172⟩ τῇ δ' ἑξῆς ὁ Πιλᾶτος καθίσας ἐπὶ τοῦ βήματος ἐν τῷ μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος ὡς ἀποκρίνασθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. ⟨173⟩ περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν πρὸς τὸ ἀδόκητον τῆς ὄψεως, Πιλᾶτος δὲ κατακόψειν εἰπὼν αὐτοὺς εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἔνευεν. ⟨174⟩ οἱ δὲ Ἰουδαῖοι κα θάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες καὶ τοὺ αὐχένας παρακλίναντες ἑτοίμους εἰς ἀναίρεσιν σφᾶ βόων μᾶλλον ἢ τὸν νόμον παραβῆναι. ὑπερθαυμάσα ὁ Πιλᾶτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκο ι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύε 5⟩ μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸ υρόν (καλεῖται δὲ κορβανᾶς) εἰς καταγωγὴν ὑδα λίσκων. κατῆγε δ' ἀπὸ τετρακοσίων στα τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, κα

Ant. Iud. XVIII 58.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

διήγειρεν ἐπιθυμίας. ⟨182⟩ ἐνῆγε δὲ μάλιστα το
εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνή, κατονειδίζ
τὴν ἀργίαν, καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι
ἐπὶ Καίσαρα στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου
Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἢ πού
ἐκεῖνον διαναστήσειεν ἐκ τετράρχου. ⟨183⟩ το
ἀναπεισθεὶς Ἡρώδης ἦκε πρὸς Γάιον, ὑφ' οὗ τῆς
νεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἰσπανίαν· ἠκολούθησ
αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαι
ἐκείνου προσέθηκε Γάιος.

10 ⟨184⟩ καὶ Ἡρώδης μὲν ἐν Ἰσπανίᾳ, συμφυγ
αὐτῷ καὶ τῆς γυναικός, τελευτᾷ· Γάιος δὲ Κ
ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην ὥστε θεὸ
αὑτὸν καὶ δοκεῖν βούλεσθαι καὶ καλεῖσθαι, τι
εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα,
ναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. ⟨185⟩ Π
νιον μὲν οὖν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπ
ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ,
τάξας, εἰ μὴ δέχοιντο Ἰουδαῖοι, τούς τε κωλύ
ἀνελεῖν καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσι
⟨186⟩ θεῷ δ' ἄρα τῶν προσταγμάτων ἔμελε. κα
τρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐ
Συρίας συμμάχοις εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐ
Ἀντιοχείας, ⟨187⟩ Ἰουδαίων δ' οἱ μὲν ἠπίστοι
ταῖς τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες
ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. ταχὺ δ' ἐχώρι
πάντων τὸ δέος, ἤδη παρούσης εἰς τὴν Πτολε
τῆς στρατιᾶς.

2 ⟨188⟩ Πόλις δ' ἐστὶν αὕτη τῆς Γαλιλαίας παρ

§ 182 = Ant. Iud. XVIII 241. § 183 = Ant. Iud. XV
§ 185 = Ant. Iud. XVIII 261.

κατὰ τὸ μέγα πεδίον ἐκτισμένη, περιέχεται δ' ὕρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῷ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι, τῷ δ' ὑψηλοτάτῳ κατ' ἄρκτον, ὃ καλοῦσι Κλίμακα Τυρίων οἱ ἐπιχώριοι· καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. ⟨189⟩ τοῦ δ' ἄστεος ὅσον ἀπὸ δύο σταδίων ὁ καλούμενος Βήλαιος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖον ἔστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατονταπηχυν θαύματος ἄξιον. ⟨190⟩ κυκλοτερὴς μὲν γάρ ἐστι καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν θαλίνην ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσφέροντα, πάλιν ἀναπληροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὅσπερ ἐπίτηδες τότε τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔνθεν ἀργὴν ψάμμον, τοῦ δὲ μετάλλου πᾶσαν εὐθέως παβάλλοντος εἰς ὕαλον. ⟨191⟩ θαυμασιώτερον δὲ τόδε μοι δοκεῖ, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ ὕου πάλιν γίγνεσθαι ψάμμον εἰκαίαν.

⟨192⟩ τὸ μὲν οὖν χωρίον τοῦτο τοιαύτην εἴληχε φύσιν, Ἰουδαῖοι δὲ μετὰ γυναικῶν καὶ τέκνων ἀθροι- 3
σθέντες εἰς τὸ πεδίον τὸ πρὸς Πτολεμαΐδι καθικέτευον τὸν Πετρώνιον ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. ὁ δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις ἐνδοὺς τὴν μὲν στρατιὰν καὶ τοὺς ἀνδριάντας ἐν Πτολεμαΐδι καταλείπει, ⟨193⟩ προελθὼν δὲ εἰς τὴν Γαλιλαίαν καὶ συγκαλέσας τό τε πλῆθος καὶ τοὺς γνωρίμους πάντας εἰς τὴν Τιβεριάδα, τήν τε Ῥωμαίων διεξῄει δύναμιν καὶ τὰς Καίσαρος ἀπειλάς, ἔτι δὲ καὶ τὴν ἀξίωσιν ἀπέφηνεν ἀγνώμονα·

§ 192 = Ant. Iud. XVIII 263. § 193 = Ant. Iud. VIII 269.

〈194〉 *πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάττεσθαι πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεστὸν*
4 *ὕβρεως.* 〈195〉 *τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτεινομένων, καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρός, οὐ κατὰ τὸν ναὸν μόνον ἀλλ' οὐδ' ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος 'ἀλλὰ μὴν κἀμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος' ἔφη· 'παραβὰς γὰρ αὐτὸν καὶ*
1 *φεισάμενος ὑμῶν ἀπολοῦμαι δικαίως. ἀπολεῖ δ' ὑμᾶς ὁ πέμψας ἐμέ, οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς ὥσπερ ὑμεῖς ἐπιτάττομαι.'* 〈196〉 *πρὸς ταῦτα τὸ πλῆθος πάντ' ἐβόα πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν. κατα-*
στείλας δ' ὁ Πετρώνιος αὐτῶν τὴν βοήν, 'πολεμήσετε' 1
εἶπεν 'ἆρα Καίσαρι;' 〈197〉 *καὶ Ἰουδαῖοι περὶ μὲν Καίσαρος καὶ τοῦ δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν ἔφασαν, εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ Ἰουδαίων*
ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους 2
εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν. 〈198〉 *ἐπὶ τού-*
τοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον τῆς τ' ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν καὶ τοῦ πρὸς θάνατον ἑτοίμου παραστήματος. καὶ τότε μὲν ἄπρακτοι
5 *διελύθησαν,* 〈199〉 *ταῖς δ' ἑξῆς ἀθροίσας τε τοὺς δυ-* 3
νατοὺς κατ' ἰδίαν καὶ τὸ πλῆθος ἐν κοινῷ συλλέγων
ποτὲ μὲν παρεκάλει ποτὲ δὲ συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων ἐπανατεινόμενος ἰσχὺν καὶ τοὺς Γαΐου θυμοὺς τήν τ' ἰδίαν πρὸς τού-
τοις ἀνάγκην. 〈200〉 *πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδι-* 4

§ 199 = Ant. Iud. XVIII 276.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ξομένων, οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα
〈147〉 καὶ τὸ πτύσαι δ' εἰς μέσους ἢ τὸ δεξιὸν μέρο
φυλάττονται, καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθα
διαφορώτατα Ἰουδαίων ἁπάντων. οὐ μόνον γὰρ τρο
φὰς ἑαυτοῖς πρὸ μιᾶς ἡμέρας παρασκευάζουσιν, ἵ
μηδὲ πῦρ ἐναύοιεν ἐκείνην τὴν ἡμέραν, ἀλλ' οὐδ
σκεῦός τι μετακινῆσαι θαρροῦσιν, οὐδ' ἀποκατεί
〈148〉 ταῖς δ' ἄλλαις ἡμέραις βόθρον ὀρύττοντες βε
θος ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ διδ
μενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις) κα
περικαλύψαντες θοίματίῳ, ὡς μὴ τὰς αὐγὰς ὑβριζοι
τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτόν, 〈149〉 ἔπειτα τὴ
ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον. κα
τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι
καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων
ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιασμέ-
νοις ἔθιμον.

10 〈150〉 διήρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς
μοίρας τέτταρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν
προγενεστέρων ἐλαττοῦνται ὥστ', εἰ ψαύσειαν αὐτῶν,
ἐκείνους ἀπολούεσθαι καθάπερ ἀλλοφύλῳ συμφυρέν-
τας. 〈151〉 καὶ μακρόβιοι μὲν ὡς τοὺς πολλοὺς ὑπὲρ
ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης,
ἔμοιγε δοκεῖν, καὶ τὴν εὐταξίαν, καταφρονηταὶ δὲ τῶν
δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονή-
μασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσίοι, νομί-
ζοντες ἀθανασίας ἀμείνω. 〈152〉 διήλεγξε δ' αὐτῶν
ἐν ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος, ἐν ᾧ
στρεβλούμενοί τε καὶ λυγιζόμενοι, καιόμενοί τε καὶ
κλώμενοι, καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστη-
ρίων ὀργάνων, ἵν' ἢ βλασφημήσωσι τὸν νομοθέτην ἢ

ράγασί τι τῶν ἀσυνήθων, οὐδέτερον ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους ἢ θωπεῦσαι· ⟨153⟩ μειδιῶντες δ' ἐν ταῖς ἀλγηδόσι καὶ καταγελῶντες τῶν τὰς βασάνους προσφερόντων ὕθυμοι τὰς ψυχὰς ἠφίεσαν ὡς πάλιν κομιούμενοι. ⟨154⟩ καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδ' ἡ δόξα, φθαρτὰ 11
μὲν εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτῶν, ἃς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέσσθαι μέν, ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὅσπερ εἱρκταῖς τοῖς σώμασιν ἴυγγί τινι φυσικῇ καταπωμένας, ⟨155⟩ ἐπειδὰν δ' ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷον δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. καὶ ταῖς μὲν ἀγαθαῖς, δμοδοξοῦντες παισὶν Ἑλλήνων, ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι, καὶ χῶρον οὔτ' ὄμβροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραΰς ἀεὶ ξέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχόν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. ⟨156⟩ ἔοικοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς ἐνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' Ἅιδου τὸν τῶν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σισύφους καὶ Ταντάλους καὶ Ἰξίονας καὶ Τιτυούς, πρῶτον μὲν βίους ὑφιστάμενοι τὰς ψυχάς, ἔπειτ' εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· ⟨157⟩ τούς τε γὰρ ἀγαθοὺς γίγνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τῆς καὶ μετὰ τὴν τελευτήν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν

§ 154 — Ant. Iud. XVIII 18.

ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν.

〈158〉 ταῦτα μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τ
12 σοφίας αὐτῶν ἐγκαθιέντες· 〈159〉 εἰσὶ δ' ἐν αὐτοῖ οἳ καὶ τὰ μέλλοντα [προγιγνώσκειν ὑπισχνοῦντ βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητ ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπάνιον δ' εἴ πο ἐν ταῖς προαγορεύσεσιν ἀστοχοῦσιν.

13 〈160〉 ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, δίαιτ μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονο διεστὼς δὲ τῇ κατὰ γάμον δόξῃ. μέγιστον γὰρ ἀπ κόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχήν, τ μὴ γαμοῦντας, μᾶλλον δ', εἰ πάντες τὸ αὐτὸ φρον σειαν, ἐκλιπεῖν ἂν ἅπαν τὸ γένος τάχιστα. 〈161〉 δ κιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετάς, ἐπειδὰν τρ καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτω ἄγονται. ταῖς δ' ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐνδεικνυ μενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χάριν γαμεῖ λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, κ θάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι.

14 〈162〉 τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος, δί δὲ τῶν προτέρων Φαρισαῖοι μὲν οἱ δοκοῦντες με ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἀπ γοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτου πάντα, 〈163〉 καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ μ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθε δ' εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην· ψυχὴν δὲ πᾶσ μὲν ἄφθαρτον, μεταβαίνειν δ' εἰς ἕτερον σῶμα τ τῶν ἀγαθῶν μόνην, τὰς δὲ τῶν φαύλων ἀιδίῳ τιμωρ

§ 162 = Ant. Iud. XVIII 13.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

λυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, αἳ σημαῖαι καλοῦνται. ⟨170⟩ τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίοις· οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν ὡς πεπατημένων αὐτοῖς τῶν νόμων (οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι), καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἄθροους ὁ ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. ⟨171⟩ ὁρμήσαντες δὲ πρὸς τὸν Πιλᾶτον εἰς Καισάρειαν ἱκέτευον ἐξενεγκεῖν ἐξ Ἱεροσολύμων τὰς σημαίας καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες ἐπὶ πέντ' ἡμέρας καὶ νύκτας
3 ἴσας ἀκίνητοι διεκαρτέρουν. ⟨172⟩ τῇ δ' ἑξῆς ὁ Πιλᾶτος καθίσας ἐπὶ τοῦ βήματος ἐν τῷ μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος ὡς ἀποκρίνασθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. ⟨173⟩ περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν πρὸς τὸ ἀδόκητον τῆς ὄψεως, Πιλᾶτος δὲ κατακόψειν εἰπὼν αὐτοὺς εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἔνευεν. ⟨174⟩ οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες καὶ τοὺς αὐχένας παρακλίναντες ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐβόων μᾶλλον ἢ τὸν νόμον παραβῆναι. ὑπερθαυμάσας δ' ὁ Πιλᾶτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει,
4 ⟨175⟩ μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸν θησαυρόν (καλεῖται δὲ κορβανᾶς) εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. κατῆγε δ' ἀπὸ τετρακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ

§ 173 = Ant. Iud. XVIII 58.

διήγειρεν ἐπιθυμίας. ⟨182⟩ ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνή, κατονειδίζουσα τὴν ἀργίαν, καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἦ πού γ' ἂν ἐκεῖνον διαναστήσειεν ἐκ τετράρχου. ⟨183⟩ τούτοις ἀναπεισθεὶς Ἡρώδης ἦκε πρὸς Γάιον, ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἰσπανίαν· ἠκολούθησε γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε Γάιος.

⟨184⟩ καὶ Ἡρώδης μὲν ἐν Ἰσπανίᾳ, συμφυγούσης αὐτῷ καὶ τῆς γυναικός, τελευτᾷ· Γάιος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην ὥστε θεὸν μὲν αὑτὸν καὶ δοκεῖν βούλεσθαι καὶ καλεῖσθαι, τῶν τ' εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα, ἐκτεῖναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. ⟨185⟩ Πετρώνιον μὲν οὖν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας, εἰ μὴ δέχοιντο Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. ⟨186⟩ θεῷ δ' ἄρα τῶν προσταγμάτων ἔμελε. καὶ Πετρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐκ τῆς Ἀντιοχείας, ⟨187⟩ Ἰουδαίων δ' οἱ μὲν ἠπίστουν ἔτι ταῖς τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. ταχὺ δ' ἐχώρει διὰ πάντων τὸ δέος, ἤδη παρούσης εἰς τὴν Πτολεμαΐδα τῆς στρατιᾶς.

⟨188⟩ Πόλις δ' ἐστὶν αὕτη τῆς Γαλιλαίας παράλιος

§ 182 = Ant. Iud. XVIII 241. § 183 = Ant. Iud. XVIII 252. § 185 = Ant. Iud. XVIII 261.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

〈194〉 *πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάττεσθαι πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεστὸν*
4 *ὕβρεως.* 〈195〉 *τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτεινομένων, καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρός, οὐ κατὰ τὸν ναὸν μόνον ἀλλ' οὐδ' ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος 'ἀλλὰ μὴν κἀμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος' ἔφη· 'παραβὰς γὰρ αὐτὸν καὶ φεισάμενος ὑμῶν ἀπολοῦμαι δικαίως. ἀπολεῖ δ' ὑμᾶς ὁ πέμψας ἐμέ, οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς ὥσπερ ὑμεῖς ἐπιτάττομαι.'* 〈196〉 *πρὸς ταῦτα τὸ πλῆθος πάντ' ἐβόα πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν. κατασταστειλας δ' ὁ Πετρώνιος αὐτῶν τὴν βοήν, 'πολεμήσετε' εἶπεν 'ἄρα Καίσαρι;'* 〈197〉 *καὶ Ἰουδαῖοι περὶ μὲν Καίσαρος καὶ τοῦ δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν ἔφασαν, εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν.* 〈198〉 *ἐπὶ τούτοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον τῆς τ' ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν καὶ τοῦ πρὸς θάνατον ἑτοίμου παραστήματος. καὶ τότε μὲν ἄπρακτοι*
6 *διελύθησαν,* 〈199〉 *ταῖς δ' ἑξῆς ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν καὶ τὸ πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει ποτὲ δὲ συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων ἐπανατεινόμενος ἰσχὺν καὶ τοὺς Γαΐου θυμοὺς τήν τ' ἰδίαν πρὸς τούτοις ἀνάγκην.* 〈200〉 *πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδι-*

§ 199 = Ant. Iud. XVIII 276.

δόκουν, ὡς ἔφρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι (κατὰ γὰρ ὥραν σπόρου πεντήκοντα ἡμέρας ἡγὰ προσδιέτριβεν αὐτῷ τὰ πλήθη), τελευταῖον ἀθροίσας αὐτούς, ⟨201⟩ καὶ 'παρακινδυνευτέον ἐμοὶ μᾶλλον' ἔφην, 'ἢ γὰρ τοῦ θεοῦ συνεργοῦντος πείσας Καίσαρα σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ παροξυνθέντος ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ ψυχήν,' διαφθείρει τὸ πλῆθος πολλὰ κατευχόμενον αὐτῷ, καὶ παραλαβὼν τὴν στρατιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν εἰς τὴν Ἀντιόχειαν. ⟨202⟩ ἔνθεν εὐθέως ἐπέστειλε Καίσαρι τήν τ' ἐμβολὴν τὴν εἰς Ἰουδαίαν ἑαυτοῦ καὶ τοῦ ἔθνους ἱκεσίας, ὅτι τ', εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν ἀπολέσαι, δέοι φυλάττειν τ' αὐτοῖς τὸν νόμον καὶ παριέναι τὸ πρόσταγμα. ⟨203⟩ ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα μετρίως Γάιος ἀντέγραψεν, ἀπειλῶν Πετρωνίῳ θάνατον, ὅτι τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. τοὺς μὲν τούτων γραμματοφόρους συνέβη χειμῶνα τρεῖς μῆνας ἐν τῇ θαλάττῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγγέλλοντες εὐπλόουν· ἔφθη γοῦν περὶ τούτου λαβεῖν Πετρώνιος ἐπιστολὰς ἑπτὰ καὶ δέκα ἡμέραις ἢ τὰς καθ' ἑαυτοῦ.

⟨204⟩ Γαΐου δ' ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας 11
ὀκτὼ καὶ δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν τοῖς στρατευμάτων εἰς τὴν ἀρχὴν Κλαύδιος, ⟨205⟩ ὁ δὲ σύγκλητος, ἐξηγουμένων τῶν ὑπάτων Σεντίου Σατορνίνου καὶ Πομπωνίου Σεκούνδου, τρισὶ ταῖς πρεσβυτάταις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν εἰς τὸ Καπετώλιον ἠθροίσθη, καὶ διὰ τὴν ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· κατα-

§ 204 = Ant. Iud. XIX 201.

στήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχήν, ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.

2 ⟨206⟩ *συνέβη δὲ τηνικαῦτα πρὸς ἐπιδημοῦντα τὸν Ἀγρίππαν τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρήσιμος αὐτοῖς γένοιτο. κἀκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνάμει Καίσαρα πρὸς Κλαύδιον ἄπεισιν.* ⟨207⟩ *ὃ δ' αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον οὔτ' ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι·* ⟨208⟩ *ἔπειθ' ὅτι διοικήσοι τὴν ἀρχὴν ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δ' ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν· καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.*

3 ⟨209⟩ *ταῦτ' ἀπήγγειλεν Ἀγρίππας. ἡ δὲ βουλὴ ἀπεκρίνατο καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομενεῖν. καὶ Κλαύδιος ὡς ἤκουσε τὰ παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντ' αὐτοῖς ὅτι προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὁμόσαντας οὐχ ὑπομένει, πολεμήσει δ' ἄκων πρὸς οὓς ἥκιστα βούλοιτο·* ⟨210⟩ *δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς πόλεως· οὐ γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν δημοφύλῳ φόνῳ*

§ 206 = Ant. Iud. XIX 236 sq. § 207 = Ant. Iud. XIX 246. § 209 = Ant. Iud. XIX 242.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπετώλιον ἀναθεῖναι. ⟨217⟩ δωρεῖται δ' αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρώδην (ὁ δ' αὐτὸς καὶ γαμβρὸς ἦν Βερενίκῃ συνοικῶν) βασιλείᾳ τῇ Χαλκίδι.

6 ⟨218⟩ ταχέως δ', ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο, τηλικοῦτον δὲ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύμοις τεῖχος ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον Ῥωμαίοις ἐποίησε τὴν πολιορκίαν. ⟨219⟩ ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τοῦργον τελευτήσας ἐν Καισαρείᾳ, βασιλευκὼς μὲν ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. ⟨220⟩ καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου γεγεννημένας, Βερενίκην Μαριάμμην Δρούσιλλαν, υἱὸν δ' ἐκ τῆς αὐτῆς Ἀγρίππαν. οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον Φᾶδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. ⟨221⟩ μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερενίκης δύο παῖδας, Βερενικιανόν τε καὶ Ὑρκανόν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. τεθνήκει δ' αὐτῷ καὶ ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. ⟨222⟩ οὗτοι μὲν οὖν ἦσαν, ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες, Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρώδῃ γεγόνεσαν υἱεῖς, οὓς ὁ πατὴρ ἀνεῖλεν. ἡ δ' Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε.

§ 218 = Ant. Iud. XIX 326; 351. § 219 = Ant. Iud. XIX 343. 354 sq. § 221 = Ant. Iud. XX 104 cf. XVIII 135.

〈223〉 μετὰ δὲ τὴν Ἡρῴδου τελευτήν, ὃς ἦρξε τῆς 12
Χαλκίδος, καθίστησι Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου τὸν Ἀγρίππα υἱὸν Ἀγρίππαν· τῆς δ' ἄλλης ἐπαρχίας διαδέχεται τὴν ἐπιτροπὴν ἀπ' Ἀλεξάνδρου Κούμανος, ἐφ' οὗ θόρυβοί τ' ἦρξαντο καὶ φθορὰ πάλιν Ἰουδαίων ἐγένετο. 〈224〉 συνεληλυθότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς Ἱεροσόλυμα, καὶ τῆς Ῥωμαϊκῆς σπείρας ὑπὲρ τὴν τοῦ ἱεροῦ στοὰν ἐφεστώσης (ἔνοπλοι δ' ἀεὶ τὰς ἑορτὰς παραφυλάττουσιν, ὡς μή τι νεωτερίζῃ τὸ πλῆθος συνηθροισμένον), εἷς τις τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα καὶ κατακύψας ἀσχημόνως προσαπέστρεψε τοῖς Ἰουδαίοις τὴν ἕδραν, καὶ τῷ σχήματι φωνὴν ὁμοίαν ἐπεφθέγξατο. 〈225〉 πρὸς τοῦτο πᾶν μὲν τὸ πλῆθος ἠγανάκτησε, καὶ κατεβόων τοῦ Κουμάνου κολάζειν τὸν στρατιώτην· οἱ δ' ἧττον νήφοντες τῶν νέων καὶ τὸ φύσει στασιῶδες ἐκ τοῦ ἔθνους ἐχώρουν ἐπὶ μάχην, λίθους θ' ἁρπάσαντες εἰς τοὺς στρατιώτας ἔβαλλον. 〈226〉 καὶ Κούμανος δείσας μὴ τοῦ λαοῦ πᾶσιν ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπεται. τῶν δὲ ταῖς στοαῖς ἐπιχεομένων φόβος ἐμπίπτει τοῖς Ἰουδαίοις ἀκατάσχετος, καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφυγον εἰς τὴν πόλιν. 〈227〉 τοσαύτη δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο, ὥστε πνιγέντας ὑπ' ἀλλήλων καὶ συντριβέντας ὑπὲρ τοὺς μυρίους ἀποθανεῖν, γενέσθαι δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν.

〈228〉 μεταλαμβάνει δὲ ταύτην τὴν συμφορὰν λη- 2
στρικὸς ἄλλος θόρυβος. κατὰ γὰρ τὴν Βαιθωρὼν δημοσίαν ὁδὸν Στεφάνου τινὸς δούλου Καίσαρος ἀπο-

§ 225 = Ant. Iud. XX 108.

σκευὴν κομιζομένην διήρπασαν λῃσταὶ προσπεσόντες. ⟨229⟩ Κούμανος δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτόν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα τῶν στρατιωτῶν τις εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέ τε τὸ βιβλίον καὶ εἰς πῦρ κατέβαλεν. ⟨230⟩ Ἰουδαῖοι δ' ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι πρὸς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. ⟨231⟩ ὃ δ', οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν ἠξίου προσάγειν τε τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει.

3 ⟨232⟩ καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν, αὖθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίγνεται συμβολή. κατὰ γὰρ τὴν Γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν ἀναιρεῖταί τις Γαλιλαῖος. ⟨233⟩ πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν, οἱ γνώριμοι δ' αὐτῶν ἐλθόντες πρὸς Κούμανον ἠντιβόλουν πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας.

4 ⟨234⟩ ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ

§ 231 = Ant. Iud. XX 117.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

Κούμανον γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ
6 *σφαγέντος ἐπεξελθεῖν.* ⟨241⟩ *Κουαδρᾶτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα, αὖθις δὲ προελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμάνου ζωγρηθέντας ἀνεσταύρωσε πάντας.* ⟨242⟩ *ἐκεῖθέν τ' εἰς Λύδδα παραγενόμενος πάλιν διήκουσε τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο.* ⟨243⟩ *δύο δ' ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην καὶ Ἀνανίαν, τόν τε τούτου παῖδα Ἀνανον καί τινας ἄλλους Ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καισαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους.* ⟨244⟩ *παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ τῶν Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθρόως, εἰς Ἀντιόχειαν ἐπανῆει.*

7 ⟨245⟩ *κατὰ δὲ τὴν Ῥώμην Καῖσαρ ἀκούσας Κουμάνου καὶ Σαμαρέων (παρῆν δὲ καὶ Ἀγρίππας ἐκθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν παρίσταντο), Σαμαρέων μὲν καταγνοὺς τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, Κούμανον δ' ἐφυγάδευσε,* ⟨246⟩ *Κέλερα δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.*

8 ⟨247⟩ *μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας*

§ 214 = Ant. Iud. XX 130. § 247 = Ant. Iud. XX 148.

καὶ Σαμαρείας καὶ Περαίας· ἐκ δὲ τῆς Χαλκίδος
Ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησι, δοὺς αὐτῷ
τήν τε Φιλίππου γενομένην ἐπαρχίαν (αὕτη δ' ἦν
Βαταναία καὶ Τραχωνῖτις καὶ Γαυλανῖτις), προσέθηκε
δὲ τήν τε Λυσανίου βασιλείαν καὶ τὴν Ἰάρου γενο-
μένην ἐπαρχίαν. ⟨248⟩ αὐτὸς δὲ διοικήσας τὴν ἡγε-
μονίαν ἔτεσι τρισὶ καὶ δέκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ
εἴκοσιν ἡμέραις, τελευτᾷ, καταλιπὼν Νέρωνα τῆς ἀρχῆς
διάδοχον, ⟨249⟩ ὃν ταῖς Ἀγριππίνης τῆς γυναικὸς
ἀπάταις ἐπὶ κληρονομίᾳ τῆς ἀρχῆς εἰσεποιήσατο, καίπερ
υἱὸν ἔχων γνήσιον Βρεττανικὸν ἐκ Μεσσαλίνης τῆς
προτέρας γυναικός, καὶ Ὀκταυίαν θυγατέρα τὴν ὑπ'
αὐτοῦ ξευχθεῖσαν Νέρωνι. γεγόνει δὲ αὐτῷ καὶ ἐκ
Ποππαίας Ἀντωνία.

⟨250⟩ ὅσα μὲν οὖν Νέρων δι' ὑπερβολὴν εὐδαι- 13
μονίας τε καὶ πλούτου παραφρονήσας ἐξύβρισεν εἰς τὴν
τύχην, ἢ τίνα τρόπον τόν τ' ἀδελφὸν καὶ τὴν γυναῖκα
καὶ τὴν μητέρα διεξῆλθεν, ἀφ' ὧν ἐπὶ τοὺς εὐγενεστά-
τους μετήνεγκε τὴν ὠμότητα, ⟨251⟩ καὶ ὡς τελευταῖον
ὑπὸ φρενοβλαβείας ἐξώκειλεν εἰς σκηνὴν καὶ θέατρον,
ἐπειδὴ δι' ὅχλου πᾶσίν ἐστι, παραλείψω, τρέψομαι δ'
ἐπὶ τὰ Ἰουδαίοις κατ' αὐτὸν γενόμενα.

⟨252⟩ τὴν μὲν οὖν μικρὰν Ἀρμενίαν δίδωσι βασι- 2
λεύειν Ἀριστοβούλῳ τῷ Ἡρώδου, τῇ δ' Ἀγρίππα βα-
σιλείᾳ τέτταρας πόλεις προστίθησι σὺν ταῖς τοπαρχίαις,
Ἄβιλα μὲν καὶ Ἰουλιάδα κατὰ τὴν Περαίαν, Ταριχαίας
δὲ καὶ Τιβεριάδα τῆς Γαλιλαίας, εἰς δὲ τὴν λοιπὴν
Ἰουδαίαν Φήλικα κατέστησεν ἐπίτροπον. ⟨253⟩ οὗτος
τόν τ' ἀρχιλῃστὴν Ἐλεάζαρον ἔτεσιν εἴκοσι τὴν χώραν
λῃσάμενον καὶ πολλοὺς τῶν σὺν αὐτῷ ζωγρήσας ἀνέπεμ-

§ 252 = Ant. Iud. XX 158.

ψεν εἰς Ῥώμην. τῶν δ' ἀναστανρωθέντων ὑπ' αὐτοῦ ληστῶν καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων δημοτῶν, οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.

3 ⟨254⟩ καθαρθείσης δὲ τῆς χώρας ἕτερον εἶδος ληστῶν ἐν Ἱεροσολύμοις ἐπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ' ἡμέραν καὶ ἐν μέσῃ τῇ πόλει φονεύοντες ἀνθρώπους. ⟨255⟩ μάλιστα δ' ἐν ταῖς ἑορταῖς μισγόμενοι τῷ πλήθει καὶ ταῖς ἐσθῆσιν ὑποκρύπτοντες μικρὰ ξιφίδια, τούτοις ἔνυττον τοὺς διαφόρους, ἔπειτα πεσόντων μέρος ἐγίγνοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες· διὸ καὶ παντάπασιν ὑπ' ἀξιοπιστίας ἦσαν ἀνεύρετοι. ⟨256⟩ πρῶτος μὲν οὖν ὑπ' αὐτῶν Ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάττεται· μετὰ δ' αὐτὸν καθ' ἡμέραν ἀνῃροῦντο πολλοί. καὶ τῶν συμφορῶν ὁ φόβος ἦν χαλεπώτερος, ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχομένου. ⟨257⟩ προεσκοποῦντο δὲ πόρρωθεν τοὺς διαφόρους. καὶ οὐδὲ τοῖς φίλοις προσιοῦσιν ἔτι πίστις ἦν, ἐν μέσαις δὲ ταῖς ὑπονοίαις καὶ ταῖς φυλακαῖς ἀνῃροῦντο· τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος ἦν καὶ τοῦ λαθεῖν ἡ τέχνη.

4 ⟨258⟩ συνέστη δὲ πρὸς τούτοις στῖφος ἕτερον πονηρῶν, χειρὶ μὲν καθαρώτερον, ταῖς γνώμαις δ' ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον τῶν σφαγέων τὴν εὐθαιμονίαν τῆς πόλεως ἐλυμήνατο. ⟨259⟩ πλάνοι γὰρ ἄνθρωποι καὶ ἀπατεῶνες, προσχήματι θειασμοῦ νεωτερισμοὺς καὶ μεταβολὰς πραγματευόμενοι, δαιμονᾶν τὸ πλῆθος ἀνέπειθον, καὶ προῆγον εἰς τὴν ἐρημίαν ὡς ἐκεῖ τοῦ θεοῦ δείξοντος αὐτοῖς σημεῖα ἐλευθερίας. ⟨260⟩ ἐπὶ τούτοις ὁ Φῆλιξ (ἐδόκει γὰρ ἀποστάσεως

§ 256 — Ant. Iud. XX 168. § 260 — Ant. Iud. XX 168.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

στήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχήν, ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.

2 ⟨206⟩ *συνέβη δὲ τηνικαῦτα πρὸς ἐπιδημοῦντα τὸν Ἀγρίππαν τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρήσιμος αὐτοῖς γένοιτο. κἀκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνάμει Καίσαρα πρὸς Κλαύδιον ἄπεισιν.* ⟨207⟩ *ὃ δ' αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον οὔτ' ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι·* ⟨208⟩ *ἔπειθ' ὅτι διοικήσοι τὴν ἀρχὴν ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δ' ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν· καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.*

3 ⟨209⟩ *ταῦτ' ἀπήγγειλεν Ἀγρίππας. ἡ δὲ βουλὴ ἀπεκρίνατο καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομενεῖν. καὶ Κλαύδιος ὡς ἤκουσε τὰ παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντ' αὐτοῖς ὅτι προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὀμόσαντας οὐχ ὑπομένει, πολεμήσει δ' ἅπασι πρὸς οὓς ἥκιστα βούλοιτο·* ⟨210⟩ *δεῖν μέντοι πρὸ αποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς πόλεως· γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν δημοφύλῳ φό*

§ 206 = Ant. Iud. XIX 236 sq. § 207 = Ant. Iud. X 246. § 209 = Ant. Iud. XIX 242.

ιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος. ὃ μὲν οὖν ἀκούσας
αῦτα τοῖς βουλευταῖς ἀπήγγειλεν. 〈211〉 μεταξὺ δὲ 4
ὧν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις σπασάμενος
ὸ ξίφος, 'ἄνδρες' ἐβόησε 'συστρατιῶται, τί παθόντες
δελφοκτονεῖν αἱρούμεθα καὶ κατὰ τῶν μετὰ Κλαυ-
ίου συγγενῶν ὁρμᾶν, ἔχοντες μὲν αὐτοκράτορα μηδὲν
εμφθῆναι δυνάμενον, τοσαῦτα δὲ τὰ δίκαια πρὸς οὓς
ετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν;' 〈212〉 ταῦτ' εἰπὼν
ιὰ μέσης ὥρμησε τῆς βουλῆς πάντας τοὺς συστρατιώτας
φελκόμενος. οἱ δ' εὐπατρίδαι παραχρῆμα μὲν πρὸς
ὴν ἀπόλειψιν περιδεῶς ἔσχον, αὖθις δ' ὡς ἀποστροφὴ
ωτήριος οὐ κατεφαίνετο, τὴν τῶν στρατιωτῶν ὁδὸν
πείγοντο πρὸς Κλαύδιον. 〈213〉 ὑπήντων δ' αὐτοῖς
ρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον
ολακεύοντες τὴν τύχην· κἂν συνέβη κινδυνεῦσαι τοὺς
ροάγοντας πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν
Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ τὸ
ινδύνευμα τῆς πράξεως ἐδήλωσεν, ὅτι τ', εἰ μὴ κατά-
οι τὴν ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυττηκό-
ν, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστι περιοπτον,
μίας ἔσοιτο βασιλεύς.
〈214〉 ταῦτ' ἀκούσας Κλαύδιος ἐπέσχε τὰς ὁρμὰς 5
στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς
στρατόπεδον, καὶ φιλοφρονησάμενος ἕξεισι σὺν
ῖς αὐτίκα θύσων τῷ θεῷ τὰ περὶ τῆς ἡγεμονίας
τήρια. 〈215〉 καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδω-

1 = Ant. Iud. XIX 254. § 215 = Ant. Iud. XIX 274.

τάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπετώλιον ἀναθεῖναι. ⟨217⟩ δωρεῖται δ' αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρώδην (ὁ δ' αὐτὸς καὶ γαμβρὸς ἦν Βερενίκῃ συνοικῶν) βασιλείᾳ τῇ Χαλκίδι.

6 ⟨218⟩ ταχέως δ', ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο, τηλικοῦτον δὲ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύμοις τεῖχος ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον Ῥωμαίοις ἐποίησε τὴν πολιορκίαν. ⟨219⟩ ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τοὖργον τελευτήσας ἐν Καισαρείᾳ, βασιλευκὼς μὲν ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. ⟨220⟩ καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου γεγεννημένας, Βερενίκην Μαριάμμην Δρούσιλλαν, υἱὸν δ' ἐκ τῆς αὐτῆς Ἀγρίππαν. οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον Φᾶδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. ⟨221⟩ μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερενίκης δύο παῖδας, Βερενικιανόν τε καὶ Ὑρκανόν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. τεθνήκει δ' αὐτῷ καὶ ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. ⟨222⟩ οὗτοι μὲν οὖν ἦσαν, ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες, Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρώδῃ γεγόνεσαν υἱεῖς, οὓς ὁ πατὴρ ἀνεῖλεν. ἡ δ' Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε.

§ 218 = Ant. Iud. XIX 326; 351. § 219 = Ant. Iud. XIX 343. 354 sq. § 221 = Ant. Iud. XX 104 cf. XVIII 136.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

σκευὴν κομιζομένην διήρπασαν λῃσταὶ προσπεσόντες. ⟨229⟩ Κούμανος δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτόν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα τῶν στρατιωτῶν τις εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέ τε τὸ βιβλίον καὶ εἰς πῦρ κατέβαλεν. ⟨230⟩ Ἰουδαῖοι δ' ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι πρὸς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. ⟨231⟩ ὃ δ', οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν ἠξίου προσάγειν τε τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει.

3 ⟨232⟩ καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν, αὖθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίγνεται συμβολή. κατὰ γὰρ τὴν Γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν ἀναιρεῖταί τις Γαλιλαῖος. ⟨233⟩ πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν, οἱ γνώριμοι δ' αὐτῶν ἐλθόντες πρὸς Κούμανον ἠντιβόλουν περὶ ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας.

4 ⟨234⟩ ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ

§ 231 = Ant. Iud. XX 117.

πεφονευμένου τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμων ἀστρατήγητοι καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. ⟨235⟩ τοῦ ληστρικοῦ δ' αὐτῶν καὶ στασιώδους Δεινάιου τις υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς δμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες αὐτούς τ' ἀνήρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἐνεπίμπρασαν. ⟨236⟩ Κούμανος δ' ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην ἱππέων καλουμένην Σεβαστηνῶν ἐξεβοήθει τοῖς πορθουμένοις, καὶ τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε πλείστους δ' ἀπέκτεινε. ⟨237⟩ πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν πολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες ἱκέτευον ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥωμαίους παροξύνειν, ἑλεῆσαι δὲ τὴν πατρίδα καὶ τὸν ναὸν τέκνα τε καὶ γυναῖκας ἰδίας, ἃ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν Γαλιλαίου παραπολέσθαι. ⟨238⟩ τούτοις πεισθέντες οἱ Ἰουδαῖοι διελύθησαν, ἱτράποντο δὲ πολλοὶ πρὸς ληστείαν διὰ τὴν ἄδειαν. καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τ' ἦσαν καὶ τῶν θρασυτέρων ἐπαναστάσεις.

⟨239⟩ καὶ τῶν Σαμαρέων οἱ δυνατοὶ πρὸς Οὐμμίδιον Κουαδρᾶτον, ὃς ἦν ἡγεμὼν τῆς Συρίας, εἰς Τύρον παραγενόμενοι δίκην τινὰ παρὰ τῶν πορθησάντων τὴν χώραν λαβεῖν ἠξίουν. ⟨240⟩ παρόντες δὲ καὶ οἱ γνώριμοι τῶν Ἰουδαίων καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης, υἱὸς Ἀνάτου, κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρέας διὰ τὸν φόνον, αἴτιον δὲ τῶν ἀποβεβηκότων

§ 237 = Ant. Iud. XX 122.

Κούμανον γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ
6 *σφαγέντος ἐπεξελθεῖν.* ⟨241⟩ *Κουαδρᾶτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα, αὖθις δὲ προελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμάνου ζωγρηθέντας ἀνεσταύρωσε πάντας.* ⟨242⟩ *ἐκεῖθέν τ' εἰς Λύδδα παραγενόμενος πάλιν διήκουσε τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο.* ⟨243⟩ *δύο δ' ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην καὶ Ἀνανίαν, τόν τε τούτου παῖδα Ἄνανον καί τινας ἄλλους Ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους.* ⟨244⟩ *παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ τῶν Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς Ἀντιόχειαν ἐπανῆλθεν.*

7 ⟨245⟩ *κατὰ δὲ τὴν Ῥώμην Καῖσαρ ἀκούσας Κουμάνου καὶ Σαμαρέων (παρῆν δὲ καὶ Ἀγρίππας ἐνθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν παρίσταντο), Σαμαρέων μὲν καταγνοὺς τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, Κούμανον δ' ἐφυγάδευσε,* ⟨246⟩ *Κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.*

8 ⟨247⟩ *μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας*

§ 214 = Ant. Iud. XX 130. § 247 = Ant. Iud. XX 148.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

σκευὴν κομιζομένην διήρπασαν λῃσταὶ προσπεσόντες. ⟨229⟩ Κούμανος δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτόν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα τῶν στρατιωτῶν τις εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέ τε τὸ βιβλίον καὶ εἰς πῦρ κατέβαλεν. ⟨230⟩ Ἰουδαῖοι δ' ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι πρὸς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. ⟨231⟩ ὃ δ', οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν ἠξίου προσάγειν τε τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει.

3 ⟨232⟩ καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν, αὖθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίγνεται συμβολή. κατὰ γὰρ τὴν Γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν ἀναιρεῖταί τις Γαλιλαῖος. ⟨233⟩ πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν, οἱ γνώριμοι δ' αὐτῶν ἐλθόντες πρὸς Κούμανον ἠντιβόλουν πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας.

4 ⟨234⟩ ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ

§ 231 = Ant. Iud. XX 117.

κερσευμένου τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀρίμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμων ἀστρατήγητοι καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. ⟨235⟩ τοῦ ληστρικοῦ δ' αὐτῶν καὶ στασιώδους Δειναίου τις υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες αὐτούς τ' ἀνήρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἐνεπίμπρασαν. ⟨236⟩ Κούμανος δ' ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην ἱππέων καλουμένην Σεβαστηνῶν ἐξεβοήθει τοῖς πορθουμένοις, καὶ τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε πλείστους δ' ἀπέκτεινε. ⟨237⟩ πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν κολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες ἱκέτευον ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥωμαίους παροξύνειν, ἑλεῆσαι δὲ τὴν πατρίδα καὶ τὸν ναὸν τέκνα τε καὶ γυναῖκας ἰδίας, ἃ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν Γαλιλαίου παραπολέσθαι. ⟨238⟩ τούτοις πεισθέντες οἱ Ἰουδαῖοι διελύθησαν, ἐκράτουντο δὲ πολλοὶ πρὸς ληστείαν διὰ τὴν ἄδειαν. καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τ' ἦσαν καὶ τῶν θρασυτέρων ἐπαναστάσεις.

⟨239⟩ καὶ τῶν Σαμαρέων οἱ δυνατοὶ πρὸς Οὐμμίδιον Κουαδρᾶτον, ὃς ἦν ἡγεμὼν τῆς Συρίας, εἰς Τύρον παραγενόμενοι δίκην τινὰ παρὰ τῶν πορθησάντων τὴν χώραν λαβεῖν ἠξίουν. ⟨240⟩ παρόντες δὲ καὶ οἱ γνώριμοι τῶν Ἰουδαίων καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης, υἱὸς Ἀνάτου, κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρεῖς διὰ τὸν φόνον, αἴτιον δὲ τῶν ἀποβεβηκότων

§ 237 — Ant. Iud. XX 122.

Κούμανον γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ
6 *σφαγέντος ἐπεξελθεῖν.* ⟨241⟩ *Κουαδρᾶτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα, αὖθις δὲ προελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμάνου ζωγρηθέντας ἀνεσταύρωσε πάντας.* ⟨242⟩ *ἐκεῖθέν τ' εἰς Λύδδα παραγενόμενος πάλιν διήκουσε τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο.* ⟨243⟩ *δύο δ' ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς* 10 *Ἰωνάθην καὶ Ἀνανίαν, τόν τε τούτου παῖδα Ἄνανον καί τινας ἄλλους Ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους.* ⟨244⟩ *παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ* 15 *λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ τῶν Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς Ἀντιόχειαν ἐπανῆλθεν.*

7 ⟨245⟩ *κατὰ δὲ τὴν Ῥώμην Καίσαρ ἀκούσας Κουμάνου καὶ Σαμαρέων (παρῆν δὲ καὶ Ἀγρίππας ἐνθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν παρίσταντο), Σαμαρέων μὲν καταγνοὺς τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, Κούμανον δ' ἐφυγάδευσε,* ⟨246⟩ *Κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.*

8 ⟨247⟩ *μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας*

§ 214 = Ant. Iud. XX 130. § 247 — Ant. Iud. XX 148.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ψεν εἰς Ῥώμην. τῶν δ' ἀναστανρωθέντων ὑπ' αὐτοῦ ληστῶν καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων δημοτῶν, οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.

3 ⟨254⟩ καθαρθείσης δὲ τῆς χώρας ἕτερον εἶδος ληστῶν ἐν Ἱεροσολύμοις ἐπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ' ἡμέραν καὶ ἐν μέσῃ τῇ πόλει φονεύοντες ἀνθρώπους. ⟨255⟩ μάλιστα δ' ἐν ταῖς ἑορταῖς μισγόμενοι τῷ πλήθει καὶ ταῖς ἐσθῆσιν ὑποκρύπτοντες μικρὰ ξιφίδια, τούτοις ἔνυττον τοὺς διαφόρους, ἔπειτα πεσόντων μέρος ἐγίγνοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες· διὸ καὶ παντάπασιν ὑπ' ἀξιοπιστίας ἦσαν ἀνεύρετοι. ⟨256⟩ πρῶτος μὲν οὖν ὑπ' αὐτῶν Ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάττεται· μετὰ δ' αὐτὸν καθ' ἡμέραν ἀνῃροῦντο πολλοί. καὶ τῶν συμφορῶν ὁ φόβος ἦν χαλεπώτερος, ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχομένου. ⟨257⟩ προεσκοποῦντο δὲ πόρρωθεν τοὺς διαφόρους. καὶ οὐδὲ τοῖς φίλοις προσιοῦσιν ἔτι πίστις ἦν, ἐν μέσαις δὲ ταῖς ὑπονοίαις καὶ ταῖς φυλακαῖς ἀνῃροῦντο· τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος ἦν καὶ τοῦ λαθεῖν ἡ τέχνη.

4 ⟨258⟩ συνέστη δὲ πρὸς τούτοις στῖφος ἕτερον πονηρῶν, χειρὶ μὲν καθαρώτερον, ταῖς γνώμαις δ' ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον τῶν σφαγέων τὴν εὐθαιμονίαν τῆς πόλεως ἐλυμήνατο. ⟨259⟩ πλάνοι γὰρ ἄνθρωποι καὶ ἀπατεῶνες, προσχήματι θειασμοῦ νεωτερισμοὺς καὶ μεταβολὰς πραγματευόμενοι, δαιμονᾶν τὸ πλῆθος ἀνέπειθον, καὶ προῆγον εἰς τὴν ἐρημίαν ὡς ἐκεῖ τοῦ θεοῦ δείξοντος αὐτοῖς σημεῖα ἐλευθερίας. ⟨260⟩ ἐπὶ τούτοις ὁ Φῆλιξ (ἐδόκει γὰρ ἀποστάσεως

§ 256 = Ant. Iud. XX 168. § 260 = Ant. Iud. XX 168.

εἰναι καταβολή) πέμψας ἱππεῖς καὶ πεζοὺς ὁπλίτας πολὺ πλῆθος διέφθειρε.

〈261〉 μείζονι δὲ ταύτης πληγῇ Ἰουδαίους ἐκά- 5
κωσεν ὁ Αἰγύπτιος ψευδοπροφήτης. παραγενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης καὶ προφήτου πίστιν ἐκπιθεὶς ἑαυτῷ περὶ τρισμυρίους μὲν ἀθροίζει τῶν ἀπατημένων, 〈262〉 προαγαγὼν δ' αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ Ἐλαιῶνα καλούμενον ὄρος, ἐκεῖθεν οἷόσ' ἦν εἰς Ἱεροσόλυμα παρελθεῖν βιάζεσθαι, καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ τοῦ δήμου τυραννεῖν, πρόσκειμενος τοῖς συνεισπεσοῦσι δορυφόροις. 〈263〉 φθάνει δ' αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ ὑπαντιάσας μετὰ τῶν Ῥωμαίων ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πολλοὺς τῶν σὺν αὐτῷ, τὸ δὲ λοιπὸν πλῆθος σκεδασθὲν ἐπὶ τὴν ἑαυτῶν ἕκαστον διαλαθεῖν.

〈264〉 κατεσταλμένων δὲ καὶ τούτων, ὥσπερ ἐν 6
πολυσώματι σώματι, πάλιν ἕτερον μέρος ἐφλέγμαινεν. οἱ γὰρ γόητες καὶ λῃστρικοὶ συναχθέντες πολλοὺς εἰς ἀπόστασιν ἐνῆγον καὶ πρὸς ἐλευθερίαν παρεκρότουν, δίκαιον ἐπιτιμῶντες τοῖς πειθαρχοῦσι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ πρὸς βίαν ἀφαιρήσεσθαι λέγοντες τοὺς ἑκουσίως δουλεύειν προαιρουμένους. 〈265〉 μεριξόμενοι δ' εἰς τὴν χώραν κατὰ λόχους διήρπαζόν τε τὰς δυνατῶν οἰκίας καὶ αὐτοὺς ἀνῄρουν καὶ τὰς κώμας ἐνεπίμπρασαν, ὥστε τῆς ἀπονοίας αὐτῶν πᾶσαν τὴν Ἰουδαίαν ἀνακίμπλασθαι.

〈266〉 καὶ οὗτος μὲν ὁ πόλεμος καθ' ἡμέραν ἀνερ- 7
πύστου, ἑτέρα δὲ ταραχὴ συνίσταται περὶ Καισάρειαν,

§ 265 — Ant. Iud. XX 172.

τῶν ἀναμεμιγμένων Ἰουδαίων πρὸς τοὺς ἐν αὐτῇ Σύρους στασιασάντων. οἱ μὲν γὰρ ἠξίουν σφετέραν εἶναι τὴν πόλιν, Ἰουδαῖον γεγονέναι τὸν κτίστην αὐτῆς λέγοντες (ἦν δ' Ἡρώδης ὁ βασιλεύς), οἱ δ' ἕτεροι τὸν οἰκιστὴν μὲν προσωμολόγουν Ἰουδαῖον, αὐτὴν μέντοι γε τὴν πόλιν Ἑλλήνων ἔφασαν· οὐ γὰρ ἂν ἀνδριάντας καὶ ναοὺς ἐγκαθιδρῦσαι Ἰουδαίοις αὐτὴν ἀνατιθέντα. ⟨267⟩ διὰ ταῦτα μὲν ἠμφισβήτουν ἑκάτεροι, προῆει δ' αὐτοῖς τὸ φιλόνικον εἰς ὅπλα, καὶ καθ' ἡμέραν οἱ θρασύτεροι παρ' ἀμφοῖν προεπήδων ἐπὶ μάχην· οὐδὲ γὰρ Ἰουδαίων οἱ γεραιοὶ τοὺς ἰδίους στασιαστὰς κατέχειν οἷοί τ' ἦσαν, καὶ τοῖς Ἕλλησιν αἶσχος ἐδόκει Ἰουδαίων ἐλαττοῦσθαι. ⟨268⟩ προεῖχον δ' οἱ μὲν πλούτῳ καὶ σωμάτων ἀλκῇ, τὸ δ' Ἑλληνικὸν τῇ παρὰ τῶν στρατιωτῶν ἀμύνῃ· τὸ γὰρ πλέον Ῥωμαίοις τῆς ἐκεῖ δυνάμεως ἐκ Συρίας ἦν κατειλεγμένον, καὶ καθάπερ συγγενεῖς ἦσαν πρὸς τὰς βοηθείας ἕτοιμοι. ⟨269⟩ τοῖς γε μὴν ἐπάρχοις φροντὶς ἦν ἀναστέλλειν τὴν ταραχήν, καὶ τοὺς μαχιμωτέρους ἑκατέρωθεν ἀθρόους συλλαμβάνοντες ἐκόλαζον μάστιξι καὶ δεσμοῖς. οὐ μὴν τὰ πάθη τῶν συλλαμβανομένων ἐνεποίει τοῖς καταλειπομένοις ἀνακοπὴν ἢ δέος, ἀλλ' ἔτι μᾶλλον παρωξύνοντο πρὸς τὴν στάσιν. ⟨270⟩ νικῶντας δέ ποτε τοὺς Ἰουδαίους παρελθὼν εἰς τὴν ἀγορὰν ὁ Φῆλιξ μετ' ἀπειλῆς ἐκέλευσεν ἀναχωρεῖν· τῶν δὲ μὴ πειθομένων ἐπιπέμψας τοὺς στρατιώτας ἀναιρεῖ συχνούς, ὧν διαρπαγῆναι συνέβη καὶ τὰς οὐσίας. μενούσης δὲ τῆς στάσεως, ἐπιλέξας ἑκατέρωθεν τοὺς γνωριμωτάτους ἔπεμψε πρέσβεις ἐπὶ Νέρωνα διαλεξομένους περὶ τῶν δικαίων.

§ 270 — Ant. Iud. XX 182.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

σύγκρισιν. ὁ μὲν γὰρ λάθρᾳ τὰ πολλὰ καὶ μεθ' ὑποστολῆς ἐκακούργησε, Γέσσιος δὲ τὰς εἰς τὸ ἔθνος παρανομίας ἐπόμπευσε, καὶ ὥσπερ ἐπὶ τιμωρίᾳ καταχρίτων πεμφθεὶς δήμιος οὔθ' ἁρπαγῆς τινα τρόπον οὐτ' αἰκίας παρέλιπεν. ⟨278⟩ ἦν δ' ἐν μὲν τοῖς ἐλεεινοῖς ὠμότατος, ἐν δὲ τοῖς αἰσχροῖς ἀναιδέστατος· οὔτε δὲ πλείω τις ἀπιστίαν τῆς ἀληθείας κατέχεεν οὔτ' ἐν τῷ πανουργεῖν δολιωτέρας ὁδοὺς ἐπενόησεν. ᾧ τὸ μὲν κατ' ἄνδρα κερδαίνειν μικρὸν ἐδόκει, πόλεις δ' ὅλας ἐξεδίδυσκε καὶ δήμους ἀθρόους ἐλυμαίνετο, καὶ μόνον οὐκ ἐκήρυξεν ἀνὰ τὴν χώραν πᾶσιν ἐξεῖναι ληστεύειν, ἐφ' ᾧ τε μέρος αὐτὸς λήψεται τῶν λαφύρων. ⟨279⟩ διὰ γοῦν τὴν ἐκείνου πλεονεξίαν πάσας ἐρημωθῆναι συνέβη τὰς τοπαρχίας καὶ πολλοὺς τῶν πατρίων ἡθῶν ἐξανασταάντας φυγεῖν εἰς τὰς ἀλλοφύλους ἐπαρχίας.

3 ⟨280⟩ μέχρι μὲν οὖν ἐν Συρίᾳ Κέστιος Γάλλος ἦν διέπων τὴν ἐπαρχίαν, οὐδὲ πρεσβεύσασθαί τις πρὸς αὐτὸν ἐτόλμησε κατὰ τοῦ Φλώρου· παραγενόμενον δ' εἰς Ἱεροσόλυμα τῆς τῶν ἀζύμων ἑορτῆς ἐνστάσης παρεστὰς ὁ δῆμος, οὐκ ἐλάττους τριακοσίων μυριάδων, ἱκέτευον ἐλεῆσαι τὰς τοῦ ἔθνους συμφοράς, καὶ τὸν λυμεῶνα τῆς χώρας Φλῶρον ἐκεκράγεσαν. ⟨281⟩ ὁ δὲ παρὼν καὶ τῷ Κεστίῳ παρεστὼς διεχλεύαζε τὰς φωνάς. ὅ γε μὴν Κέστιος τὴν ὁρμὴν τοῦ πλήθους καταστείλας, καὶ δοὺς ἔμφασιν ὡς πρὸς τὸ μέλλον αὐτοῖς τὸν Φλῶρον κατασκευάσειε μετριώτερον, ὑπέστρεψεν εἰς Ἀντιόχειαν. ⟨282⟩ προύπεμψε δ' αὐτὸν μέχρι Καισαρείας Φλῶρος ἐξαπατῶν, καὶ πόλεμον ἤδη τῷ ἔθνει σκοπούμενος, ᾧ μόνῳ συγκρύψειν τὰς αὐτοῦ παρανομίας ὑπελάμβανεν· ⟨283⟩ εἰρήνης μὲν γὰρ οὔσης κατηγόρους ἔξειν ἐπὶ Καίσαρος Ἰουδαίους προσεδόκα,

αγματευσάμενος δ' ἀπόστασιν αὐτῶν τῷ μείζονι
χῷ περισπάσειν τὸν ἔλεγχον ἀπὸ τῶν μετριωτέρων.
〈284〉 ὁ μὲν οὖν, ὡς ἂν ἀπορραγείη τὸ ἔθνος,
θ' ἡμέραν ἐπέτεινεν αὐτοῖς τὰς συμφοράς· ἐν δὲ
ύτῳ καὶ οἱ Καισαρέων Ἕλληνες, νικήσαντες παρὰ
ρωνι τῆς πόλεως ἄρχειν, τὰ τῆς κρίσεως ἐκόμισαν
κμματα, καὶ προσελάμβανε τὴν ἀρχὴν ὁ πόλεμος
δεκάτῳ μὲν ἔτει τῆς Νέρωνος ἡγεμονίας, ἑπταικαι-
κάτῳ δὲ τῆς Ἀγρίππα βασιλείας, Ἀρτεμισίου μηνός.
285〉 πρὸς δὲ τὸ μέγεθος τῶν ἐξ αὐτοῦ συμφορῶν
ι ἀξίαν ἔσχε πρόφασιν. οἱ γὰρ ἐν Καισαρείᾳ Ἰου-
οι συναγωγὴν ἔχοντες παρὰ χωρίον οὗ δεσπότης
τις Ἕλλην Καισαρεύς, πολλάκις μὲν κτήσασθαι τὸν
τον ἐσπούδασαν, τιμὴν πολλαπλασίονα τῆς ἀξίας δι-
ντες· 〈286〉 ὡς δ' ὑπερορῶν τὰς δεήσεις πρὸς ἐπή-
αν ἔτι καὶ προσῳκοδόμει τὸ χωρίον ἐκεῖνος, ἐργα-
ήρια κατασκευαζόμενος, στενὴν δὲ καὶ παντάπασι
ίαν πάροδον ἀπέλιπεν αὐτοῖς, τὸ μὲν πρῶτον οἱ
ρμότεροι τῶν νέων προπηδῶντες οἰκοδομεῖν ἐκώ-
ν, 〈287〉 ὡς δὲ τούτους εἶργε τῆς βίας Φλῶρος,
ηκανοῦντες οἱ δυνατοὶ τῶν Ἰουδαίων, σὺν οἷς ὁ
ώνης Ἰωάννης, πείθουσι τὸν Φλῶρον ἀργυρίου τα-
ντοις ὀκτὼ διακωλῦσαι τοὔργον. 〈288〉 ὁ δὲ πρὸς
νον τὸ λαβεῖν ὑποσχόμενος πάντα συμπράξειν, λαβὼν
ισι τῆς Καισαρείας εἰς Σεβαστήν, καὶ καταλείπει
στάσιν αὐτεξούσιον, ὥσπερ ἄδειαν πεπρακὼς Ἰου-
ίοις τοῦ μάχεσθαι.
〈289〉 τῆς δ' ἐπιούσης ἡμέρας ἑβδομάδος οὔσης,
ν Ἰουδαίων εἰς τὴν συναγωγὴν συναθροισθέντων,
ισιαστής τις Καισαρεὺς γάστραν καταστρέψας καὶ

§ 284 = Ant. Iud. XX 257.

παρὰ τὴν εἴσοδον αὐτῶν θέμενος ἐπέθυεν ὄρνεις. τοῦτο τοὺς Ἰουδαίους ἀνηκέστως παρώξυνεν, ὡς ὑβρισμένων μὲν αὐτοῖς τῶν νόμων, μεμιασμένου δὲ τοῦ χωρίου. ⟨290⟩ τὸ μὲν οὖν εὐσταθὲς καὶ πρᾷον ἐπὶ τοὺς ἡγεμόνας καταφεύγειν πάλιν ᾤετο χρῆναι, τὸ δὲ στασιῶδες δὲ κἀν νεότητι φλεγμαῖνον ἐξεκαίετο πρὸς μάχην. παρεσκευασμένοι δ' εἱστήκεσαν οἱ τῶν Καισαρέων στασιασταί (τὸν γὰρ ἐπιθύσαντα προπεπόμφεσαν ἐκ συντάγματος), καὶ ταχέως ἐγένετο συμβολή. ⟨291⟩ προσελθὼν δὲ Ἰουκοῦνδος ὁ διακωλύειν τεταγμένος ἱππάρχης τήν τε γάστραν αἴρει καὶ καταπαύειν ἐπειρᾶτο τὴν στάσιν. ἡττωμένου δ' αὐτοῦ τῆς τῶν Καισαρέων βίας, Ἰουδαῖοι τοὺς νόμους ἁρπάσαντες ἀνεχώρησαν εἰς Νάρβατα· χώρα τις αὐτῶν οὕτω καλεῖται, σταδίους ἑξήκοντα διέχουσα τῆς Καισαρείας. ⟨292⟩ οἱ δὲ περὶ τὸν Ἰωάννην δυνατοὶ δώδεκα πρὸς Φλῶρον ἐλθόντες εἰς Σεβαστὴν ἀπωδύροντο περὶ τῶν πεπραγμένων, καὶ βοηθεῖν ἱκέτευον, αἰδημόνως ὑπομιμνήσκοντες τῶν ὀκτὼ ταλάντων. ὃ δὲ καὶ συλλαβὼν ἔδησε τοὺς ἄνδρας, αἰτιώμενος ὑπὲρ τοῦ τοὺς νόμους ἐξενεγκεῖν τῆς Καισαρείας.

6 ⟨293⟩ πρὸς τοῦτο τοῖς ἐν Ἱεροσολύμοις ἀγανάκτησις ἦν, ἔτι μέντοι τοὺς θυμοὺς κατεῖχον. ὁ δὲ Φλῶρος ὥσπερ ἠργολαβηκὼς ἐκριπίζειν τὸν πόλεμον, πέμψας ἐπὶ τὸν ἱερὸν θησαυρὸν ἐξαιρεῖ ἑπτακαίδεκα τάλαντα, σκηψάμενος εἰς τὰς Καίσαρος χρείας. ⟨294⟩ σύγχυσις δ' εὐθέως εἶχε τὸν δῆμον, καὶ συνδραμόντες εἰς τὸ ἱερὸν βοαῖς διαπρυσίοις τὸ Καίσαρος ἀνεκάλουν ὄνομα, καὶ τῆς Φλώρου τυραννίδος ἐλευθεροῦν σφᾶς ἱκέτευον. ⟨295⟩ ἔνιοι δὲ τῶν στασιαστῶν λοιδορίας ἐσχάτους εἰς τὸν Φλῶρον ἐκεκράγεσαν, καὶ κανοῦν περιφέροντες

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

λαύσειν τῆς ἀμύνης, εἰ μὴ προσάγοιεν τοὺς αἰτίους. οἳ δὲ τὸν μὲν δῆμον ἀπέφαινον εἰρηνικὰ φρονοῦντα, τοῖς δὲ παραφθεγξαμένοις ἠτοῦντο συγγνώμην. ⟨303⟩ ἐν γὰρ τοσούτῳ πλήθει θαυμαστὸν μὲν οὐδὲν εἶναι τινας θρασυτέρους καὶ δι' ἡλικίαν ἄφρονας, ἀμήχανον δὲ τῶν ἡμαρτηκότων τὴν διάκρισιν γενέσθαι, ἑκάστου μετανοοῦντος καὶ δὴ καὶ ἃ δέδρακεν ἀρνουμένου. ⟨304⟩ δεῖν μέντοι γ' ἐκεῖνον προνοεῖν τῆς κατὰ τὸ ἔθνος εἰρήνης, καὶ βουλεύεσθαι Ῥωμαίοις περισώζειν τὴν πόλιν, καὶ μᾶλλον διὰ τοὺς πολλοὺς ἀκαταιτιάτους συγγνῶναι καὶ τοῖς ὀλίγοις πλημμελήσασιν ἢ δι' ὀλίγους πονηροὺς ταράξαι δῆμον ἀγαθὸν τοσοῦτον.

9 ⟨305⟩ πρὸς ταῦτα μᾶλλον παροξυνθεὶς ἐμβοᾷ τοῖς στρατιώταις διαρπάζειν τε τὴν ἄνω καλουμένην ἀγορὰν καὶ κτείνειν τοὺς ἐντυγχάνοντας. οἳ δ' ἐπιθυμίᾳ κέρδους προσλαβόντες ἡγεμονικὴν παρακέλευσιν οὐ μόνον ἐφ' ὃν ἐπέμφθησαν τόπον ἥρπαζον, ἀλλ' εἰς πάσας ἐμπηδῶντες τὰς οἰκίας ἔσφαζον τοὺς υἱκήτορας. ⟨306⟩ φυγὴ δ' ἦν ἐκ τῶν στενωπῶν καὶ φόνος τῶν καταλαμβανομένων, τρόπος θ' ἁρπαγῆς οὐδεὶς παρελιμπάνετο. καὶ πολλοὺς τῶν μετρίων συλλαβόντες ἐπὶ τὸν Φλῶρον ἦγον, οὓς μάστιξι προαικισάμενος ἀνεσταύρωσεν. ⟨307⟩ [ὁ γοῦν σύμπας τῶν ἐκείνης ἀπολομένων τῆς ἡμέρας ἀριθμὸς σὺν γυναιξὶ καὶ παιδίοις (οὐδὲ γὰρ νηπίων ἀπέσχοντο) περὶ τρισχιλίους καὶ ἑξακοσίους συνήχθη. ⟨308⟩ βαρυτέραν δ' ἐποίει τὴν συμφορὰν τὸ καινὸν τῆς Ῥωμαίων ὠμότητος. ὃ γὰρ μηδεὶς πρότερον, τότε Φλῶρος ἐτόλμησεν, ἄνδρας ἱππικοῦ τάγματος μαστιγῶσαί τε πρὸ τοῦ βήματος καὶ σταυρῷ προσηλῶσαι· ὧν εἰ καὶ τὸ γένος Ἰουδαῖον, ἀλλὰ τὸ γοῦν ἀξίωμα Ῥωμαϊκὸν ἦν.

〈309〉 κατὰ τοῦτον τὸν καιρὸν ὁ μὲν βασιλεὺς 15
Ἀγρίππας ἔτυχεν εἰς τὴν Ἀλεξάνδρειαν πεπορευμένος, ὅπως Ἀλεξάνδρῳ συνησθείη πεπιστευμένῳ τὴν Αἴγυπτον ὑπὸ Νέρωνος καὶ πεμφθέντι διέπειν· 〈310〉 τὴν δ' ἀδελφὴν αὐτοῦ Βερενίκην παροῦσαν ἐν Ἱεροσολύμοις καὶ τὴν παρανομίαν τῶν στρατιωτῶν θεωμένην δεινὸν εἰσῆει πάθος, καὶ πολλάκις τούς θ' ἱππάρχους αὐτῆς καὶ σωματοφύλακας πέμπουσα πρὸς Φλῶρον ἐδεῖτο παύσασθαι τοῦ φόνου. 〈311〉 καὶ ὁ μὲν οὔτ' εἰς τὸ πλῆθος τῶν ἀναιρουμένων οὔτ' εἰς τὴν εὐγένειαν τῆς παρακαλούσης ἀλλ' εἰς μόνον τὸ λυσιτελὲς τοὐκ τῶν ἁρπαγῶν ἀποβλέπων παρήκουσεν· 〈312〉 ἡ δ' ὁρμὴ τῶν στρατιωτῶν ἐλύττησε καὶ κατὰ τῆς βασιλίδος. οὐ μόνον γοῦν ἐν ὄμμασιν αὐτῆς ἠκίζοντο τοὺς ἁλισκομένους καὶ διέφθειρον, ἀλλὰ κἂν αὐτὴν ἀνεῖλον, εἰ μὴ καταφυγεῖν εἰς τὴν βασιλικὴν αὐλὴν ἔφθη, κἀκεῖ διενυκτέρευσε μετὰ φυλακῆς, δεδοικυῖα τὴν τῶν στρατιωτῶν ἔφοδον. 〈313〉 ἐπεδήμει δ' ἐν τοῖς Ἱεροσολύμοις εὐχὴν ἐκτελοῦσα τῷ θεῷ. τοὺς γὰρ ἢ νόσῳ καπονουμένους ἤ τισιν ἄλλαις ἀνάγκαις ἔθος εὔχεσθαι πρὸ τριάκονθ' ἡμερῶν ἧς ἀποδώσειν μέλλοιεν θυσίας οἴνου τ' ἀφέξεσθαι καὶ ξυρήσεσθαι τὰς κόμας. 〈314〉 ἃ δὴ τότε τελοῦσα Βερενίκη γυμνόπους τε πρὸ βήματος ἱκέτευσε τὸν Φλῶρον, καὶ πρὸς τῷ μὴ τυχεῖν αἰδοῦς αὐτὴ τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπείρασεν.

〈315〉 ταῦτα μὲν οὖν ἑκκαιδεκάτῃ μηνὸς Ἀρτεμι- 2
σίου συνέβη, τῇ δ' ἐπιούσῃ τὸ μὲν πλῆθος ὑπερπαθῆσαν εἰς τὴν ἄνω συνέρρευσεν ἀγοράν, καὶ βοαῖς ἐξαισίοις περὶ τῶν ἀπολωλότων ἀνωδύρετο· τὸ πλέον δ' ἦσαν εἰς τὸν Φλῶρον ἐπίφθονοι φωναί. 〈316〉 πρὸς ὃ δείσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι τὰς ἐσθῆ-

τας περιερρήξαντο, καὶ προσπίπτοντες ἕκαστος ἐδέοντο παύσασθαι καὶ μὴ πρὸς οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν Φλῶρον ἐρεθίζειν. ⟨317⟩ ἐπείσθη δὲ τὸ πλῆθος ταχέως αἰδοῖ τε τῶν παρακαλούντων καὶ κατ' ἐλπίδα τοῦ μηδὲν ἔτι τὸν Φλῶρον εἰς αὐτοὺς παρανομήσειν.

3 ⟨318⟩ ὁ δὲ σβεσθείσης τῆς ταραχῆς ἦχθετο, καὶ πάλιν αὐτὴν ἀνάψαι πραγματευόμενος τούς τ' ἀρχιερεῖς σὺν τοῖς γνωρίμοις μεταπέμπεται, καὶ μόνον ἔφη τεκμήριον ἔσεσθαι τοῦ μηδὲν ἔτι τὸν δῆμον νεωτερίειν, εἰ προελθόντες ὑπαντήσουσι τοῖς ἀπὸ Καισαρείας ἀνιοῦσι στρατιώταις. παρεγίγνοντο δὲ δύο σπεῖραι. ⟨319⟩ τῶν δ' ἔτι συγκαλούντων τὸ πλῆθος, προπέμψας διεδήλου τοῖς τῶν σπειρῶν ἑκατοντάρχοις ὅπως παραγγείλωσι τοῖς ὑφ' ἑαυτοὺς μήτ' ἀντασπάσασθαι τοὺς Ἰουδαίους, κἄν τι κατ' αὐτοῦ φθέγξωνται χρήσασθαι τοῖς ὅπλοις. ⟨320⟩ οἱ δ' ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὴν πληθὺν συναγαγόντες ὑπαντᾶν τοῖς Ῥωμαίοις παρεκάλουν, καὶ πρὶν ἀνηκέστου πάθους τὰς σπείρας δεξιοῦσθαι. τούτοις τὸ στασιῶδες ἠπείθει, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος ἔρρεπε πρὸς τοὺς θρασυτέρους.

4 ⟨321⟩ ἔνθα δὴ πᾶς μὲν ἱερεὺς πᾶς δ' ὑπηρέτης τοῦ θεοῦ, τὰ ἅγια σκεύη προκομίσαντες, καὶ τὸν κόσμον ἐν ᾧ λειτουργεῖν ἔθος ἦν αὐτοῖς ἀναλαβόντες, κιθαρισταί τε καὶ ὑμνῳδοὶ μετὰ τῶν ὀργάνων προσπίπτοντες, κατηντιβόλουν φυλάξαι τὸν ἱερὸν κόσμον αὐτοῖς, καὶ μὴ πρὸς ἁρπαγὴν τῶν θείων κειμηλίων Ῥωμαίους ἐρεθίσαι. ⟨322⟩ τοὺς δ' ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμωμένους μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων περιερρηγμένων.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἱεροῦ καὶ τῆς Ἀντωνίας. ὧν καὶ Φλῶρος ἐφιέμενος ἐξῆγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν αὐτῷ, καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. ⟨329⟩ διήμαρτέ γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς εἶργε τὴν ὁρμήν, καὶ διαστάντες ἐπὶ τῶν τεγῶν τοὺς Ῥωμαίους ἔβαλλον. καταπονούμενοι δὲ τοῖς ὑπερθεν βέλεσι, καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς τοῖς βασιλείοις στρατόπεδον.

⟨330⟩ οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπιθὼν ὁ Φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνεχεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν Ἀντωνίαν διέκοψαν. ⟨331⟩ τοῦτ' ἔψυξε τὴν Φλώρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί, τὴν ὁρμὴν ἀνετράπη. καὶ μεταπεμψάμενος τούς τ' ἀρχιερεῖς καὶ τὴν βουλήν, αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρούριον δὲ καταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. ⟨332⟩ τῶν δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερισθήσεσθαι ὑποσχομένων, εἰ μίαν αὐτοῖς καταλείψει σπεῖραν, μὴ μέντοι τὴν μαχεσαμένην (πρὸς γὰρ ταύτην ἀπεχθῶς δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος), ἀλλάξας τὴν σπεῖραν ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Καισάρειαν.

⟨333⟩ ἑτέραν δ' ἐπιβολὴν τῷ πολέμῳ πορίζόμενος ἐπέστειλε Κεστίῳ, Ἰουδαίων ἀπόστασιν καταψευδόμενος, τὴν τ' ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ ὅσα λέγων ἐκείνους ἃ πεπόνθεσαν. οὐ μὴν οὐδ' οἱ τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοί καὶ Βερενίκη τῷ Κεστίῳ περὶ ὧν Φλῶρος εἰς τὴν πόλιν

καινόμασιν ἔγραφον. ⟨334⟩ ὃ δὲ τὰ παρ' ἀμφοῖν
ἀναγνοὺς μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ τοῖς
μὲν αὐτῶν ἐδόκει Κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν,
ἢ συμφησόμενον τὴν ἀπόστασιν εἰ γέγονεν, ἢ βεβαιο-
τέρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας, αὐτῷ
δὲ προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον
τὰ πράγματα καὶ τὰ φρονήματα τῶν Ἰουδαίων πιστῶς
ἀπαγγελοῦντα. ⟨335⟩ πέμπει δή τινα τῶν χιλιάρχων
Νεαπολιτανόν, ὃς ἀπὸ τῆς Ἀλεξανδρείας ὑποστρέφοντι
προϋπήντα Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν τόν τε
ἄνδρα καὶ τὰς αἰτίας ἐδήλωσεν. ⟨336⟩ ἔνθα καὶ 2
Ἰουδαίων οἵ τ' ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς καὶ ἡ
βουλὴ πᾶρην δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν
ἐκ ἐκείνου θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμ-
φορὰς καὶ τὴν Φλώρου διεξῆσαν ὠμότητα. ⟨337⟩ πρὸς
ὃν ἠγανάκτει μὲν Ἀγρίππας, στρατηγικῶς δὲ τὴν ὀρ-
γὴν εἰς οὓς ἤλεε Ἰουδαίους μετέφερε, ταπεινοῦν αὐ-
τὴν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδί-
κως τι παθεῖν τῆς ἀμύνης ἀποτρέπων. ⟨338⟩ οἱ μὲν
οὖν, ὡς ἂν ὄντες ἔγκριτοι καὶ διὰ τὰς αὐτῶν κτή-
σεις ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν ἐπί-
νοιαν τοῦ βασιλέως· ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύ-
μων ὡφ ἑξήκοντα προελθὼν σταδίους ἐδεξιοῦτο τὸν
Ἀγρίππαν καὶ τὸν Νεαπολιτανόν. ⟨339⟩ ἐκώκυον δ'
αὐτῶν ἀπεσφαγμένων γυναῖκες προεκθέουσαι, καὶ πρὸς
τούτων οἰμωγὴν ὁ δῆμος εἰς ὀλοφυρμοὺς τραπό-
μενος ἐκίκουρειν τὸν Ἀγρίππαν ἱκέτευε· τοῦ τε Νεα-
πολιτανοῦ κατεβόων ὅσα πάθοιεν ὑπὸ Φλώρου, καὶ
παρελθοῦσιν εἰς τὴν πόλιν τὴν τ ἀγορὰν ἠρημωμένην
ἐπεδείκνυσαν καὶ πεπορθημένας τὰς οἰκίας. ⟨340⟩
εἶτα δι' Ἀγρίππα πείθουσι τὸν Νεαπολιτανὸν σὺν

ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλωὰμ τὴν πόλιν, ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι Ῥωμαίοις εἴκοντας, μόνῳ δ' ἀπεχθανομένους Φλώρῳ δι' ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. ὃ δ' ὡς διοδεύσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, εἰς τὸ ἱερὸν ἀνέβαινεν. ⟨341⟩ ἔνθα συγκαλέσας τὸ πλῆθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς Ῥωμαίους ἐπαινέσας, πολλὰ δ' εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας ὅθεν ἔξην τὰ ἅγια, πρὸς Κέστιον ἐπανήει.

3 ⟨342⟩ τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπί τε τὸν βασιλέα καὶ τοὺς ἀρχιερεῖς τραπόμενον πρέσβεις κατὰ Φλώρου πέμπειν ἠξίου πρὸς Νέρωνα, καὶ μὴ σιωπήσαντας ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀποστάσεως· δόξειν γὰρ αὐτοὶ κατάρξαι τῶν ὅπλων, εἰ μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. ⟨343⟩ φανεροὶ δ' ἦσαν οὐκ ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν κωλύοι. Ἀγρίππᾳ δὲ τὸ μὲν χειροτονεῖν Φλώρου κατηγόρους ἐπίφθονον ἐδόκει, τὸ περιιδεῖν δὲ Ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας οὐδ' αὐτῷ λυσιτελὲς κατεφαίνετο. ⟨344⟩ προσκαλεσάμενος δὴ εἰς τὸν ξυστὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ τὴν ἀδελφὴν Βερενίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας (αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πόλεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν), ἔλεγε τοιάδε.

4 ⟨345⟩ "εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν Ῥωμαίοις· ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον εἰρήνην ἄγειν προῃρημένους, οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς οὔτε συμβουλεύειν ἐθάρρησα· περιττὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πᾶς

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

διατροπή. ⟨352⟩ φέρε δ' εἶναι τοὺς Ῥωμαίων ὑπηρέτας ἀνηκέστως χαλεπούς· οὔπω Ῥωμαῖοι πάντες ἀδικοῦσιν ὑμᾶς, οὐδὲ Καῖσαρ, πρὸς οὓς αἴρεσθε τὸν πόλεμον. οὐ γὰρ ἐξ ἐντολῆς ἥκει τις πονηρὸς ἀπ' ἐκείνων, οὐδέ γε τοὺς ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπέρας ἐπιβλέπουσιν· ἀλλ' οὐδ' ἀκούειν ταχέως τἀντεῦθεν ἐκεῖ ῥᾴδιον. ⟨353⟩ ἄτοπον δὲ καὶ δι' ἕνα πολλοῖς καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις, καὶ μηδὲ γιγνώσκουσιν ἃ μεμφόμεθα, πολεμεῖν. ⟨354⟩ καὶ τῶν μὲν ἡμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ' ἂν ἡ διόρθωσις· οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μένει διὰ παντός, καὶ τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρους· κινηθέντα δ' ἅπαξ τὸν πόλεμον οὔτ' ἀποθέσθαι ῥᾴδιον δίχα συμφορῶν οὔτε βαστάσαι. ⟨355⟩ ἀλλὰ μὴν τό γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ τοῦ μηδ' ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον. ἡ γὰρ πεῖρα τῆς δουλείας χαλεπή, καὶ περὶ τοῦ μηδ' ἅπαξασθαι ταύτης ὁ ἀγὼν δίκαιος. ⟨356⟩ ὁ δ' ἅπαξ χειρωθείς, ἔπειτ' ἀφιστάμενος, αὐθάδης δοῦλός ἐστιν, οὐ φιλελεύθερος. τότε γὰρ οὖν ἐχρῆν πάνθ' ὑπὲρ τοῦ μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβαινε τῆς χώρας ὁ Πομπήιος. ⟨357⟩ ἀλλ' οἱ μὲν ὑμέτεροι πρόγονοι καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ χρήμασι καὶ σώμασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενοι πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνάμεως οὐκ ἀντέσχον· ὑμεῖς δ' οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς παρειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ὑπακουόντων τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθε τὴν Ῥωμαίων ἡγεμονίαν. ⟨358⟩ καὶ Ἀθηναῖοι μέν οἱ περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Ξέρξην δι-

γῆς πλεύσαντα καὶ διὰ θαλάττης δδεύσαντα, καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, οἷα δραπέτην ἐπὶ μιᾶς νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ Σαλαμῖνι τὴν τοσαύτην Ἀσίαν κλάσαντες, νῦν δουλεύουσι Ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς Ἑλλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς Ἰταλίας προστάγματα. ⟨359⟩ Λακεδαιμόνιοι δὲ μετὰ Θερμοπύλας καὶ Πλαταιὰς καὶ τὸν εἰρηνεύσαντα τὴν Ἀσίαν Ἀγησίλαον ἀγαπῶσι τοὺς αὐτοὺς δεσπότας. ⟨360⟩ καὶ Μακεδόνες ἔτι φανταζόμενοι Φίλιππον σὺν Ἀλεξάνδρῳ, καὶ παρασπαίρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσι τὴν τοσαύτην μεταβολήν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν. ⟨361⟩ ἄλλα τ' ἔθνη μυρία πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρρησίας εἴχει. μόνοι δ' ὑμεῖς ἀδοξεῖτε δουλεύειν οἷς ὑποτέτακται τὰ πάντα, ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῶν ἁλιηψόμενος τὰς Ῥωμαίων θαλάττας; ποῦ δ' οἱ ταῖς ἐπιβολαῖς ἐξαρκέσοντες θησαυροί; ⟨362⟩ πρὸς Αἰγυπτίους ἄρα καὶ πρὸς Ἄραβας οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν Ῥωμαίων ἡγεμονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ὑμέτερα καὶ τῶν προσοίκων ἐθνῶν ἡττήθη πολλάκις, ἡ δ' ἐκείνων ἰσχὺς διὰ τῆς οἰκουμένης ἀνίκητος; ⟨363⟩ μᾶλλον δὲ καὶ ταύτης ἐξήτησάν τι πλέον. οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅρος Εὐφράτης ὑπὸ τὴν ἀνατολήν, οὐδὲ τὸν προσαρκτίων Ἴστρος, ἥ τε μεσημβρινὴ μέχρι τῶν ἀνικήτων ἐρευνηθεῖσα Λιβύη, καὶ Γάδειρα πρὸς ἑσπέραν· ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐξήτησαν οἰκουμένην, καὶ μέχρι τῶν ἀνιστορήτων πρότερον Βρεττανῶν διήνεγκαν τὰ ὅπλα. ⟨364⟩ τί οὖν; ὑμεῖς πλουσιώτεροι

Γαλατῶν, ἰσχυρότεροι Γερμανῶν, Ἑλλήνων συνετώτε
ροι, πλείους τῶν κατὰ τὴν οἰκουμένην ἐστὲ πάντων
τί τὸ πεποιθὸς ὑμᾶς κατὰ Ῥωμαίων ἐπαίρει; ⟨365⟩
χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. πόσῳ μᾶλλον Ἕλλη
σιν, οἳ τῶν ὑφ' ἡλίῳ πάντων εὐγενείᾳ προύχειν δο
κοῦντες, καὶ τοσαύτην νεμόμενοι χώραν, ἐξ Ῥωμαίων
ὑπείκουσι ῥάβδοις. τοσαύταις δὲ καὶ Μακεδόνες ο
δικαιότερον ὑμῶν ὀφείλοντες ἐλευθερίας ἀντιποιεῖσθαι
⟨366⟩ τί δ' αἱ πεντακόσιαι τῆς Ἀσίας πόλεις; οὐ δίχ
φρουρᾶς ἕνα προσκυνοῦσιν ἡγεμόνα καὶ τὰς ὑπατικὰς
ῥάβδους; τί δεῖ λέγειν Ἡνιόχους τε καὶ Κόλχους κα
τὸ τῶν Ταύρων φῦλον, Βοσπορανούς τε καὶ τὰ πε
ρίοικα τοῦ Πόντου καὶ τῆς Μαιώτιδος ἔθνη, ⟨367⟩
παρ' οἷς πρὶν μὲν οὐδ' οἰκεῖος ἐγιγνώσκετο δεσπότης
νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάττεται, καὶ τεττερά
κοντα νῆες μακραὶ τὴν πρὶν ἄπλωτον καὶ ἀγριαν εἰ
ρηνεύουσι θάλατταν. ⟨368⟩ πόσα Βιθυνία καὶ Καπ
παδοκία καὶ τὸ Παμφύλιον ἔθνος Λύκιοί τε καὶ Κί
λικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰπεῖν, χωρὶς ὁπλων
φορολογοῦνται; τί δέ; Θρᾷκες οἱ πέντε μὲν εὖρος ἐπτ
δὲ μῆκος ἡμερῶν χώραν διειληφότες, τραχυτέραν τ
καὶ πολλῷ τῆς ὑμετέρας ὀχυρωτέραν καὶ βαθεῖ κρυμ
τοὺς ἐπιστρατεύοντας ἀνακόπτουσαν, οὐχὶ δισχιλίοι
Ῥωμαίων ὑπακούουσι φρουροῖς; ⟨369⟩ οἱ δ' ἀπὸ τοῦ
των Ἰλλυριοὶ τὴν μέχρι Δαλματίας ἀποτεμνομένη
Ἴστρῳ κατοικοῦντες οὐ δυσὶ μόνοις τάγμασιν ὑπεί
κουσι, μεθ' ὧν αὐτοὶ τὰς Δακῶν ἀνακόπτουσιν ὁρ
μάς; ⟨370⟩ οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀνα
καιτίσαντες Δαλμάται, καὶ πρὸς τὸ μόνον ἀεὶ χειρω
θέντες τότε συλλεξάμενοι τὴν ἰσχὺν πάλιν ἀποσπάσα
νῦν οὐχ ὑφ' ἑνὶ τάγματι Ῥωμαίων ἡσυχίαν ἄγουσιν

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἱεροῦ καὶ τῆς Ἀντωνίας. ὧν καὶ Φλῶρος ἐφιέμενος ἐξῆγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν αὐτῷ, καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. ⟨329⟩ διήμαρτέ γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς εἵργε τὴν ὁρμήν, καὶ διαστάντες ἐπὶ τῶν τεγῶν τοὺς Ῥωμαίους ἔβαλλον. καταπονούμενοι δὲ τοῖς ὑπερθεν βέλεσι, καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς τοῖς βασιλείοις στρατόπεδον.

6 ⟨330⟩ οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπελθὼν ὁ Φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνεχεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν Ἀντωνίαν διέκοψαν. ⟨331⟩ τοῦτ' ἔψυξε τὴν Φλώρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί, τὴν ὁρμὴν ἀνε τράπη. καὶ μεταπεμψάμενος τούς τ' ἀρχιερεῖς καὶ τὴ βουλήν, αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρουρὰ δὲ καταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. ⟨332⟩ τῶ δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτεριε ὑποσχομένων, εἰ μίαν αὐτοῖς καταλείψει σπεῖραν, μ μέντοι τὴν μαχεσαμένην (πρὸς γὰρ ταύτην ἀπεχθ δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος), ἀλλάξας τὴν σπεῖρ ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν ε Καισάρειαν.

16 ⟨333⟩ ἑτέραν δ' ἐπιβολὴν τῷ πολέμῳ παρεσκεύ ἐπέστειλε Κεστίῳ, Ἰουδαίων ἀπόστασιν καταψευδόμ νος, τήν τ' ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ δ σαι λέγων ἐκείνους ἃ πεπόνθεσαν. οὐ μὴν οὐδ' τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοί καὶ Βερενίκη τῷ Κεστίῳ περὶ ὧν Φλῶρος εἰς τὴν πόλ

ιρενόμησεν ἔγραφον. ⟨334⟩ ὃ δὲ τὰ παρ' ἀμφοῖν
αγνοὺς μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ τοῖς
ν αὐτῶν ἐδόκει Κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν,
τιμωρησόμενον τὴν ἀπόστασιν εἰ γέγονεν, ἢ βεβαιο-
ρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας, αὐτῷ
προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον
ὰ πράγματα καὶ τὰ φρονήματα τῶν Ἰουδαίων πιστῶς
γγελοῦντα. ⟨335⟩ πέμπει δή τινα τῶν χιλιάρχων
Νεαπολιτανόν, ὃς ἀπὸ τῆς Ἀλεξανδρείας ὑποστρέφοντι
ριτυχὼν Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν τόν τε
μψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν. ⟨336⟩ ἔνθα καὶ 2
υδαίων οἵ τ' ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς καὶ ἡ
υλὴ παρῆν δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν
ς ἐκεῖνον θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμ-
ορὰς καὶ τὴν Φλώρου διεξῆσαν ὠμότητα. ⟨337⟩ πρὸς
ν ἠγανάκτει μὲν Ἀγρίππας, στρατηγικῶς δὲ τὴν ὀρ-
ὴν εἰς οὓς ἠλέει Ἰουδαίους μετέφερε, ταπεινοῦν αὐ-
ὼν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδί-
ως τι παθεῖν τῆς ἀμύνης ἀποτρέπων. ⟨338⟩ οἱ μὲν
ίν, ὡς ἂν ὄντες ἔγκριτοι καὶ διὰ τὰς αὐτῶν κτή-
εις ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν ἐπί-
ληξιν τοῦ βασιλέως· ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύ-
ων ἐφ ἑξήκοντα προελθὼν σταδίους ἐδεξιοῦτο τὸν
γρίππαν καὶ τὸν Νεαπολιτανόν. ⟨339⟩ ἐκώκυον δ'
ἱ τῶν ἀπεσφαγμένων γυναῖκες προεκθέουσαι, καὶ πρὸς
ὴν τούτων οἰμωγὴν ὁ δῆμος εἰς ὀλοφυρμοὺς τραπό-
νος ἐπικουρεῖν τὸν Ἀγρίππαν ἱκέτευε· τοῦ τε Νεα-
πολιτανοῦ κατεβόων ὅσα πάθοιεν ὑπὸ Φλώρου, καὶ
θοῦσιν εἰς τὴν πόλιν τήν τ ἀγορὰν ἠρημωμένην
χνυσαν καὶ πεπορθημένας τὰς οἰκίας. ⟨340⟩
δι' Ἀγρίππα πείθουσι τὸν Νεαπολιτανὸν σὺν

ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλωὰμ τὴν πόλιν, ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι Ῥωμαίοις εἴκοντας, μόνῳ δ' ἀπεχθανομένους Φλώρῳ δι' ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. ὃ δ' ὡς διοδεύσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, εἰς τὸ ἱερὸν ἀνέβαινεν. ⟨341⟩ ἔνθα συγκαλέσας τὸ πλῆθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς Ῥωμαίους ἐπαινέσας, πολλὰ δ' εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας δῶρον ἔθηκε τὰ ἅγια, πρὸς Κέστιον ἐπανήει.

3 ⟨342⟩ τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπί τε τὸν βασιλέα καὶ τοὺς ἀρχιερεῖς τραπόμενον πρέσβεις κατὰ Φλώρου πέμπειν ἠξίου πρὸς Νέρωνα, καὶ μὴ σιωπήσαντας ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀποστάσεως· δόξειν γὰρ αὐτοὶ κατάρξαι τῶν ὅπλων, εἰ μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. ⟨343⟩ φανεροὶ δ' ἦσαν οὐχ ἡρεμήσοντες, εἰ τὴν πρεσβείαν τις ἀποκωλύοι. Ἀγρίππᾳ δὲ τὸ μὲν χειροτονεῖν Φλώρου κατηγόρους ἐπίφθονον ἐδόκει, τὸ περιιδεῖν δὲ Ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας οὐδ' αὐτῷ λυσιτελὲς κατεφαίνετο. ⟨344⟩ προσκαλεσάμενος δὴ εἰς τὸν ξυστὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ τὴν ἀδελφὴν Βερενίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας (αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πόλεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν), ἔλεξε τοιάδε.

4 ⟨345⟩ "εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν Ῥωμαίοις ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον εἰρήνην ἄγειν προῃρημένους οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς οὔτε συμβουλεύειν ἐθάρρησα· περιττὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πα-

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

διατροπή. ⟨352⟩ φέρε δ' εἶναι τοὺς Ῥωμαίων ρέτας ἀνηκέστως χαλεπούς· οὔπω Ῥωμαῖοι πάντες κοῦσιν ὑμᾶς, οὐδὲ Καῖσαρ, πρὸς οὓς αἴρεσθε πόλεμον. οὐ γὰρ ἐξ ἐντολῆς ἥκει τις πονηρὸς ἀπ' νων, οὐδέ γε τοὺς ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπ ἐπιβλέπουσιν· ἀλλ' οὐδ' ἀκούειν ταχέως τάντε ἐκεῖ ῥᾴδιον. ⟨353⟩ ἄτοπον δὲ καὶ δι' ἕνα πολ καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις, καὶ μηδὲ γυ σκουσιν ἃ μεμφόμεθα, πολεμεῖν. ⟨354⟩ καὶ τῶν ἡμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ' ἂν ἡ διόρθω οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μένει διὰ παντός, τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρ κινηθέντα δ' ἅπαξ τὸν πόλεμον οὔτ' ἀποθέσθαι ῥᾴ δίχα συμφορῶν οὔτε βαστάσαι. ⟨355⟩ ἀλλὰ μηδ γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ μηδ' ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον. ἡ πεῖρα τῆς δουλείας χαλεπή, καὶ περὶ τοῦ μηδ' ξασθαι ταύτης ὁ ἀγὼν δίκαιος. ⟨356⟩ ὁ δ' ἅπαξ ρωθείς, ἔπειτ' ἀφιστάμενος, αὐθάδης δοῦλός ἐστιν φιλελεύθερος. τότε γὰρ οὖν ἐχρῆν πάνθ' ὑπὲρ μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβ τῆς χώρας ὁ Πομπήιος. ⟨357⟩ ἀλλ' οἱ μὲν ὑμέτ πρόγονοι καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ χρήμασι καὶ μασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακειμ πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνάμεως οὐκ ἔσχον· ὑμεῖς δ' οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς ειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ὑπακου των τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστα τὴν Ῥωμαίων ἡγεμονίαν. ⟨358⟩ καὶ Ἀθηναῖοι οἱ περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Πέρσην

γῆς πλεύσαντα καὶ διὰ θαλάττης δδεύσαντα, καὶ μὴ χωροῦμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, οἷα δραπέτην ἐπὶ μιᾶς νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ Σαλαμῖνι τὴν τοσαύτην Ἀσίαν κλάσαντες, νῦν δουλεύουσι Ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς Ἑλλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς Ἰταλίας προστάγματα. ⟨359⟩ Λακεδαιμόνιοι δὲ μετὰ Θερμοπύλας καὶ Πλαταιὰς καὶ τὸν εἰρηνεύσαντα τὴν Ἀσίαν Ἀγησίλαον ἀγαπῶσι τοὺς αὐτοὺς δεσπότας. ⟨360⟩ καὶ Μακεδόνες ἔτι φανταξόμενοι Φίλιππον σὺν Ἀλεξάνδρῳ, καὶ παρασπαίρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν δρῶντες, φέρουσι τὴν τοσαύτην μεταβολήν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν. ⟨361⟩ ἄλλα τ' ἔθνη μυρία πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρρησίας εἶχει. μόνοι δ' ὑμεῖς ἀδοξεῖτε δουλεύειν οἷς ὑποτέτακται τὰ πάντα, ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῶν διαληψόμενος τὰς Ῥωμαίων θαλάττας; ποῦ δ' οἱ ταῖς ἐπιβολαῖς ἐξαρκέσοντες θησαυροί; ⟨362⟩ πρὸς Αἰγυπτίους ἄρα καὶ πρὸς Ἄραβας οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν Ῥωμαίων ἡγεμονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ὑμέτερα καὶ τῶν προσοίκων ἐθνῶν ἡττήθη πολλάκις, ἡ δ' ἐκείνων ἰσχὺς διὰ τῆς οἰκουμένης ἀνίκητος; ⟨363⟩ μᾶλλον δὲ καὶ ταύτης ἐξήτησάν τι πλέον. οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅρος Εὐφράτης ὑπὸ τὴν ἀνατολήν, οὐδὲ τῶν προσαρκτίων Ἴστρος, ἥ τε μεσημβρινὴ μέχρι τῶν ἀοικήτων ἐρευνηθεῖσα Λιβύη, καὶ Γάδειρα πρὸς ἑσπέραν· ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐζήτησαν οἰκουμένην, καὶ μέχρι τῶν ἀνιστορήτων πρότερον Βρεττανῶν διήνεγκαν τὰ ὅπλα. ⟨364⟩ τί οὖν; ὑμεῖς πλουσιώτεροι

τας περιερρήξαντο, καὶ προσπίπτοντες ἕκαστος ἐδέοντο παύσασθαι καὶ μὴ πρὸς οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν Φλῶρον ἐρεθίζειν. ⟨317⟩ ἐπείσθη δὲ τὸ πλῆθος ταχέως αἰδοῖ τε τῶν παρακαλούντων καὶ κατ' ἐλπίδα τοῦ μηδὲν ἔτι τὸν Φλῶρον εἰς αὐτοὺς παρανομήσειν.

3 ⟨318⟩ ὁ δὲ σβεσθείσης τῆς ταραχῆς ἦχθετο, καὶ πάλιν αὐτὴν ἀνάψαι πραγματευόμενος τούς τ' ἀρχιερεῖς σὺν τοῖς γνωρίμοις μεταπέμπεται, καὶ μόνον ἔφη τεκμήριον ἔσεσθαι τοῦ μηδὲν ἔτι τὸν δῆμον νεωτερίειν, εἰ προελθόντες ὑπαντήσουσι τοῖς ἀπὸ Καισαρείας ἀνιοῦσι στρατιώταις. παρεγίγνοντο δὲ δύο σπεῖραι. ⟨319⟩ τῶν δ' ἔτι συγκαλούντων τὸ πλῆθος, προπέμψας διεδήλου τοῖς τῶν σπειρῶν ἑκατοντάρχοις ὅπως παραγγείλωσι τοῖς ὑφ' ἑαυτοὺς μήτ' ἀντασπάσασθαι τοὺς Ἰουδαίους, κἄν τι κατ' αὐτοῦ φθέγξωνται χρήσασθαι τοῖς ὅπλοις. ⟨320⟩ οἱ δ' ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὴν πληθὺν συναγαγόντες ὑπαντᾶν τοῖς Ῥωμαίοις παρεκάλουν, καὶ πρὶν ἀνηκέστου πάθους τὰς σπείρας δεξιοῦσθαι. τούτοις τὸ στασιῶδες ἠπείθει, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος ἔρρεπε πρὸς τοὺς θρασυτέρους.

4 ⟨321⟩ ἔνθα δὴ πᾶς μὲν ἱερεὺς πᾶς δ' ὑπηρέτης τοῦ θεοῦ, τὰ ἅγια σκεύη προκομίσαντες, καὶ τὸν κόσμον ἐν ᾧ λειτουργεῖν ἔθος ἦν αὐτοῖς ἀναλαβόντες, κιθαρισταί τε καὶ ὑμνῳδοὶ μετὰ τῶν ὀργάνων προσπίπτοντες, κατηντιβόλουν φυλάξαι τὸν ἱερὸν κόσμον αὐτοῖς, καὶ μὴ πρὸς ἁρπαγὴν τῶν θείων κειμηλίων Ῥωμαίους ἐρεθίσαι. ⟨322⟩ τοὺς δ' ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμωμένους μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων περιερρηγμένων.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἱεροῦ καὶ τῆς Ἀντωνίας. ὧν καὶ Φλῶρος ἐφιέμεν
ἐξῆγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν αὐτῷ, κ
πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. ⟨329⟩ διήμαρ
γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστρ
φεις εἶργε τὴν ὁρμήν, καὶ διαστάντες ἐπὶ τῶν τεγ
τοὺς Ῥωμαίους ἔβαλλον. καταπονούμενοι δὲ τοῖς ὑπε
θεν βέλεσι, καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξ
πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς το
βασιλείοις στρατόπεδον.

6 ⟨330⟩ οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπε
θὼν ὁ Φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνία
ἀναβάντες εὐθέως τὰς συνεχεῖς στοὰς τοῦ ἱεροῦ πρὸ
τὴν Ἀντωνίαν διέκοψαν. ⟨331⟩ τοῦτ' ἔψυξε τὴν Φλω
ρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμ
νος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀ
τωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί, τὴν ὁρμὴν ἀν
τράπη. καὶ μεταπεμψάμενος τούς τ' ἀρχιερεῖς καὶ τ
βουλήν, αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρουρὰ
δὲ καταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. ⟨332⟩ τὰ
δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερι
ὑποσχομένων, εἰ μίαν αὐτοῖς καταλείψει σπεῖραν,
μέντοι τὴν μαχεσαμένην (πρὸς γὰρ ταύτην ἀπεχθ
δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος), ἀλλάξας τὴν σπεῖρ
ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν
Καισάρειαν.

16 ⟨333⟩ ἑτέραν δ' ἐπιβολὴν τῷ πολέμῳ ποριζόμεν
ἐπέστειλε Κεστίῳ, Ἰουδαίων ἀπόστασιν καταψευδόμ
νος, τήν τ' ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ ὅ
σαι λέγων ἐκείνους ἃ πεπόνθεσαν. οὐ μὴν οὐδ'
τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοὶ
καὶ Βερενίκη τῷ Κεστίῳ περὶ ὧν Φλῶρος εἰς τὴν πό

παρενόμησεν ἔγραφον. ⟨334⟩ ὃ δὲ τὰ παρ' ἀμφοῖν ἀναγνοὺς μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ τοῖς μὲν αὐτῶν ἐδόκει Κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν, ἢ τιμωρησόμενον τὴν ἀπόστασιν εἰ γέγονεν, ἢ βεβαιοτέρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας, αὐτῷ δὲ προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον τὰ πράγματα καὶ τὰ φρονήματα τῶν Ἰουδαίων πιστῶς ἀγγελοῦντα. ⟨335⟩ πέμπει δή τινα τῶν χιλιάρχων Νεαπολιτανόν, ὃς ἀπὸ τῆς Ἀλεξανδρείας ὑποστρέφοντι περιτυχὼν Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν τόν τε πέμψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν. ⟨336⟩ ἔνθα καὶ 2
Ἰουδαίων οἵ τ' ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς καὶ ἡ βουλὴ παρῆν δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν εἰς ἐκεῖνον θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμφορὰς καὶ τὴν Φλώρου διεξῆσαν ὠμότητα. ⟨337⟩ πρὸς ἣν ἠγανάκτει μὲν Ἀγρίππας, στρατηγικῶς δὲ τὴν ὀργὴν εἰς οὓς ἤλεε Ἰουδαίους μετέφερε, ταπεινοῦν αὐτῶν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδίκως τι παθεῖν τῆς ἀμύνης ἀποτρέπων. ⟨338⟩ οἳ μὲν οὖν, ὡς ἂν ὄντες ἔκκριτοι καὶ διὰ τὰς αὐτῶν κτήσεις ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν ἐπίπληξιν τοῦ βασιλέως· ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύμων ἐφ' ἑξήκοντα προελθὼν σταδίους ἐδεξιοῦτο τὸν Ἀγρίππαν καὶ τὸν Νεαπολιτανόν. ⟨339⟩ ἐκώκυον δ' αἱ τῶν ἀπεσφαγμένων γυναῖκες προεκθέουσαι, καὶ πρὸς ἣν τούτων οἰμωγὴν ὁ δῆμος εἰς ὀλοφυρμοὺς τραπόμενος ἐπικουρεῖν τὸν Ἀγρίππαν ἱκέτευε· τοῦ τε Νεαπολιτανοῦ κατεβόων ὅσα πάθοιεν ὑπὸ Φλώρου, καὶ ἀρελθοῦσιν εἰς τὴν πόλιν τήν τ ἀγορὰν ἠρημωμένην ἐδείκνυσαν καὶ πεπορθημένας τὰς οἰκίας. ⟨340⟩ εἶτα δι' Ἀγρίππα πείθουσι τὸν Νεαπολιτανὸν σὺν

ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλωὰμ τὴν λιν, ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι ' μαίοις εἴκοντας, μόνῳ δ' ἀπεχθανομένους Φλώρῳ ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. ὃ δ' ὡς διοσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, τὸ ἱερὸν ἀνέβαινεν. ⟨341⟩ ἔνθα συγκαλέσας τὸ πλθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς ' μαίους ἐπαινέσας, πολλὰ δ' εἰς τὸ τηρεῖν τὴν εἰρήν προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας ὅθεν ἐξ τὰ ἅγια, πρὸς Κέστιον ἐπανήει.

3 ⟨342⟩ τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπί τε τὸν βαλέα καὶ τοὺς ἀρχιερεῖς τραπόμενον πρέσβεις κατὰ Φλρου πέμπειν ἠξίου πρὸς Νέρωνα, καὶ μὴ σιωπήσαντ ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀστάσεως· δόξειν γὰρ αὐτοὶ κατάρξαι τῶν ὅπλων, εἰ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. ⟨343⟩ φαροὶ δ' ἦσαν οὐκ ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν ἀποκωλύοι. Ἀγρίππᾳ δὲ τὸ μὲν χειροτονεῖν Φλώρ κατηγόρους ἐπίφθονον ἐδόκει, τὸ περιιδεῖν δὲ Ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας οὐδ' αὐτῷ λυσιτε κατεφαίνετο. ⟨344⟩ προσκαλεσάμενος δὴ εἰς τὸν στὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ ἀδελφὴν Βερενίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας (ἀν γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω λεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν), ἔλτοιάδε.

4 ⟨345⟩ "εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν ' μαίοις· ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτον καὶ εἰλικρινέστατον εἰρήνην ἄγειν προῃρημένο οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς οὔτε συμβουλεύειν ἐθ ~~~κα· περιττὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

διατροπή. ⟨352⟩ φέρε δ' εἶναι τοὺς Ῥωμαίων ὑπ
ρέτας ἀνηκέστως χαλεπούς· οὔπω Ῥωμαῖοι πάντες ἀ
κοῦσιν ὑμᾶς, οὐδὲ Καῖσαρ, πρὸς οὓς αἴρεσθε τ
πόλεμον. οὐ γὰρ ἐξ ἐντολῆς ἥκει τις πονηρὸς ἀπ' ἐκ
νων, οὐδέ γε τοὺς ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπέρ
ἐπιβλέπουσιν· ἀλλ' οὐδ' ἀκούειν ταχέως τἀντεῦθ
ἐκεῖ ῥᾴδιον. ⟨353⟩ ἄτοπον δὲ καὶ δι' ἕνα πολλ
καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις, καὶ μηδὲ γιγν
σκουσιν ἃ μεμφόμεθα, πολεμεῖν. ⟨354⟩ καὶ τῶν μ
ἡμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ' ἂν ἡ διόρθωσι
οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μένει διὰ παντός, κ
τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρου
κινηθέντα δ' ἅπαξ τὸν πόλεμον οὔτ' ἀποθέσθαι ῥᾴδ
δίχα συμφορῶν οὔτε βαστάσαι. ⟨355⟩ ἀλλὰ μὴν
γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ τ
μηδ' ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον. ἡ γὰ
πεῖρα τῆς δουλείας χαλεπή, καὶ περὶ τοῦ μηδ' ἐκ
ξασθαι ταύτης ὁ ἀγὼν δίκαιος. ⟨356⟩ ὁ δ' ἅπαξ χ
ρωθείς, ἔπειτ' ἀφιστάμενος, αὐθάδης δοῦλός ἐστιν,
φιλελεύθερος. τότε γὰρ οὖν ἐχρῆν πάνθ' ὑπὲρ τ
μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβαι
τῆς χώρας ὁ Πομπήιος. ⟨357⟩ ἀλλ' οἱ μὲν ὑμέτερ
πρόγονοι καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ χρήμασι καὶ σ
μασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενο
πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνάμεως οὐκ ἀν
έσχον· ὑμεῖς δ' οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς κα
ειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ὑπακουσά
των τόσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθ
τὴν Ῥωμαίων ἡγεμονίαν. ⟨358⟩ καὶ Ἀθηναῖοι μ
οἱ περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες κ
καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Ξέρξην ἐ

γῆς πλεύσαντα καὶ διὰ θαλάττης δδεύσαντα, καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, οἷα δραπέτην ἐπὶ μιᾶς νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ Σαλαμῖνι τὴν τοσαύτην Ἀσίαν κλάσαντες, νῦν δουλεύουσι Ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς Ἑλλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς Ἰταλίας προστάγματα. ⟨359⟩ Λακεδαιμόνιοι δὲ μετὰ Θερμοπύλας καὶ Πλαταιὰς καὶ τὸν εἰρηνεύσαντα τὴν Ἀσίαν Ἀγησίλαον ἀγαπῶσι τοὺς αὐτοὺς δεσπότας. ⟨360⟩ καὶ Μακεδόνες ἔτι φανταζόμενοι Φίλιππον σὺν Ἀλεξάνδρῳ, καὶ παρασπαίρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσι τὴν τοσαύτην μεταβολήν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν. ⟨361⟩ ἄλλα τ' ἔθνη μυρία πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρρησίας εἶχει. μόνοι δ' ὑμεῖς ἀδοξεῖτε δουλεύειν οἷς ὑποτέτακται τὰ πάντα, ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῶν διαληψόμενος τὰς Ῥωμαίων θαλάττας; ποῦ δ' οἱ ταῖς βαλίσταις ἐξαρκέσοντες θησαυροί; ⟨362⟩ πρὸς Αἰγυπτίους ἆρα καὶ πρὸς Ἄραβας οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν Ῥωμαίων ἡγεμονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ὑμέτερα καὶ τῶν προσοίκων ἐθνῶν ἡττήθη πολλάκις, ἡ δ' ἐκείνων ἰσχὺς διὰ τῆς οἰκουμένης ἀνίκητος; ⟨363⟩ μᾶλλον δὲ καὶ ταύτης ἐξήτησάν τι πλέον. οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅρος Εὐφράτης ὑπὸ τὴν ἀνατολήν, οὐδὲ τῶν προσαρκτίων Ἴστρος, ἥ τε μεσημβρινὴ μέχρι τῶν ἀοικήτων ἐρευνηθεῖσα Λιβύη, καὶ Γάδειρα πρὸς ἑσπέραν· ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐξήτησαν οἰκουμένην, καὶ μέχρι τῶν ἀνιστορήτων πρότερον Βρεττανῶν διήνεγκαν τὰ ὅπλα. ⟨364⟩ τί οὖν; ὑμεῖς πλουσιώτεροι

Γαλατῶν, ἰσχυρότεροι Γερμανῶν, Ἑλλήνων συνετώτεροι, πλείους τῶν κατὰ τὴν οἰκουμένην ἐστὲ πάντων; τί τὸ πεποιθὸς ὑμᾶς κατὰ Ῥωμαίων ἐπαίρει; ⟨365⟩ *χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. πόσῳ μᾶλλον Ἕλλησιν, οἳ τῶν ὑφ' ἡλίῳ πάντων εὐγενείᾳ προύχειν δοκοῦντες, καὶ τοσαύτην νεμόμενοι χώραν, ἐξ Ῥωμαίων ὑπείκουσι ῥάβδοις. τοσαύταις δὲ καὶ Μακεδόνες οἱ δικαιότερον ὑμῶν ὀφείλοντες ἐλευθερίας ἀντιποιεῖσθαι.* ⟨366⟩ *τί δ' αἱ πεντακόσιαι τῆς Ἀσίας πόλεις; οὐ δίχα φρουρᾶς ἕνα προσκυνοῦσιν ἡγεμόνα καὶ τὰς ὑπατικὰς ῥάβδους; τί δεῖ λέγειν Ἡνιόχους τε καὶ Κόλχους καὶ τὸ τῶν Ταύρων φῦλον, Βοσπορανούς τε καὶ τὰ περίοικα τοῦ Πόντου καὶ τῆς Μαιώτιδος ἔθνη,* ⟨367⟩ *παρ' οἷς πρὶν μὲν οὐδ' οἰκεῖος ἐγιγνώσκετο δεσπότης, νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάττεται, καὶ τετταράκοντα νῆες μακραὶ τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλατταν.* ⟨368⟩ *πόσα Βιθυνία καὶ Καππαδοκία καὶ τὸ Παμφύλιον ἔθνος Λύκιοί τε καὶ Κίλικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰπεῖν, χωρὶς ὅπλων φορολογοῦνται; τί δέ; Θρᾷκες οἱ πέντε μὲν εὖρος ἑπτὰ δὲ μῆκος ἡμερῶν χώραν διειληφότες, τραχυτέραν τε καὶ πολλῷ τῆς ὑμετέρας ὀχυρωτέραν καὶ βαθεῖ κρυμῷ τοὺς ἐπιστρατεύοντας ἀνακόπτουσαν, οὐχὶ δισχιλίοις Ῥωμαίων ὑπακούουσι φρουροῖς;* ⟨369⟩ *οἱ δ' ἀπὸ τούτων Ἰλλυριοὶ τὴν μέχρι Δαλματίας ἀποτεμνομένην Ἴστρῳ κατοικοῦντες οὐ δυσὶ μόνοις τάγμασιν ὑπείχουσι, μεθ' ὧν αὐτοὶ τὰς Δακῶν ἀνακόπτουσιν ὁρμάς;* ⟨370⟩ *οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀναχαιτίσαντες Δαλμάται, καὶ πρὸς τὸ μόνον ἀεὶ χειρωθέντες τότε συλλεξάμενοι τὴν ἰσχὺν πάλιν ἀποστῆναι, νῦν οὐχ ὑφ' ἑνὶ τάγματι Ῥωμαίων ἡσυχίαν ἄγουσιν;*

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

〈377〉 ἀλλ' οὗτοι γῆν μὲν ἄπειρον νεμόμενοι, μεζόνων δὲ τῶν σωμάτων ἔχοντες τὰ φρονήματα, καὶ τὴν μὲν ψυχὴν θανάτου καταφρονοῦσαν, τοὺς δὲ θυμοὺς τῶν ἀγριωτάτων θηρίων σφοδροτέρους, Ῥῆνον τῆς ὁρμῆς ὁρον ἔχουσι, καὶ Ῥωμαίων ὀκτὼ τάγμασι δαμαζόμενοι δουλεύουσι μὲν ἁλόντες, τὸ δ' ὅλον αὐτῶν ἔθνος φυγῇ διασώζεται. 〈378〉 σκέψασθε δὲ καὶ τὸ Βρεττανῶν τεῖχος οἱ τοῖς Ἱεροσολύμων τείχεσι πεπειθότες· καὶ γὰρ ἐκείνους περιβεβλημένους ὠκεανόν, καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης οὐκ ἐλάττονα νῆσον οἰκοῦντας, πλεύσαντες ἐδουλώσαντο Ῥωμαῖοι, τέτταρα δὲ τάγματα τὴν τοσαύτην νῆσον διαφυλάττει. 〈379〉 καὶ τί δεῖ πολλὰ λέγειν, ὅπου καὶ Πάρθοι, τὸ πολεμικώτατον φῦλον, τοσούτων ἄρχοντες ἐθνῶν καὶ τηλικαύτην περιβεβλημένοι δύναμιν, δμήρους πέμπουσι Ῥωμαίοις, κάστιν ἐπὶ τῆς Ἰταλίας ἰδεῖν ἐν εἰρήνης προφάσει δουλεύουσαν τὴν ἀπὸ τῆς ἀνατολῆς εὐγένειαν. 〈380〉 πάντων δὴ σχεδὸν τῶν ὑφ' ἡλίῳ τὰ Ῥωμαίων ὅπλα προσκυνούντων, ὑμεῖς μόνοι πολεμήσετε; μηδὲ τὸ Καρχηδονίων τέλος σκοποῦντες, οἳ τὸν μέγαν αὐχοῦντες Ἀννίβαν καὶ τὴν ἀπὸ Φοινίκων εὐγένειαν ὑπὸ τὴν Σκιπίωνος δεξιὰν ἔπεσον. 〈381〉 οὔτε δὲ Κυρηναῖοι τὸ Λακώνων γένος, οὔτε Μαρμαρίδαι τὸ μέχρι τῆς διψάδος ἐκτεταμένον φῦλον, οὔθ' αἱ φοβεραὶ καὶ τοῖς ἀκούουσι Σύρτεις, Νασαμῶνές τε καὶ Μαῦροι καὶ τὸ Νομάδων ἄπειρον πλῆθος, τὰς Ῥωμαίων ἀνέκοψαν ἀρετάς. 〈382〉 τὴν δὲ τρίτην τῆς οἰκουμένης μοῖραν, ἧς οὐδ' ἐξαριθμήσασθαι τὰ ἔθνη ῥᾴδιον, ὁριζομένην Ἀτλαντικῷ τε πελάγει καὶ στήλαις Ἡρακλείοις, καὶ μέχρι τῆς Ἐρυθρᾶς θαλάττης τοὺς ἀπείρους νέμουσαν Αἰθίοπας, ἐχειρώσαντο μὲν ὅλην, 〈383〉 χωρὶς δὲ τῶν ἑτησίων καρπῶν,

τὰς ἡμέρας ἐνεργοὺς ποιησαμένῳ τῆς πολιορκίας ἐν αἷς ἤργουν οἱ πολιορκούμενοι. ⟨393⟩ παραβαίνοντες δ' ἐν τῷ πολέμῳ τὸν πάτριον νόμον, οὐκ οἶδ' ὑπὲρ ὅτου τὸ λοιπὸν ποιήσεσθε τὸν ἀγῶνα· σπουδὴ γὰρ ὑμῖν μία τὸ μὴ τῶν πατρίων τι καταλῦσαι. ⟨394⟩ πῶς δ' ἐπικαλέσεσθε τὸ θεῖον πρὸς τὴν ἄμυναν οἱ παραβάντες ἑκουσίως τὴν εἰς αὐτὸν θεραπείαν; ἐπαναιροῦνται δ' ἕκαστοι πόλεμον ἢ θείᾳ πεποιθότες ἢ ἀνθρωπίνῃ βοηθείᾳ· ὅταν δὲ τὴν παρ' ἀμφοῖν τὸ εἰκὸς ἀποκόπτῃ, φανερὰν ἅλωσιν οἱ πολεμοῦντες αἱροῦνται. ⟨395⟩ τί δὴ κωλύει ταῖς ἑαυτῶν χερσὶ διαχρήσασθαι τέκνα καὶ γυναῖκας, καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; μανέντες γὰρ οὕτω τό γε τῆς ἥττης ὄνειδος κερδήσετε. ⟨396⟩ καλόν, ὦ φίλοι, καλόν, ἕως ἔτ' ἐν ὅρμῳ τὸ σκάφος, προσκέπτεσθαι τὸν μέλλοντα χειμῶνα, μηδ' εἰς μέσας τὰς θυέλλας ἀπὸ λιμένος ἀναχθῆναι· τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσι δεινοῖς τὸ γοῦν ἐλεεῖσθαι περίεστιν, ὁ δ' εἰς πρόδηλον ἀπώλειαν ὁρμήσας καὶ προσονειδίζεται. ⟨397⟩ πλὴν

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

των ἐστίν. οὔτε γὰρ τῷ Καίσαρι δεδώκατε τὸν φόρον, καὶ τὰς στοὰς ἀπεκόψατε τὰς τῆς Ἀντωνίας. ⟨404⟩ *ἀποσκευάσαισθε δ' ἂν τὴν αἰτίαν τῆς ἀποστάσεως, εἰ ταύτας τε συνάψετε πάλιν καὶ τελέσετε τὴν εἰσφοράν. οὐ γὰρ ἤδη γε Φλώρου τὸ φρούριόν ἐστιν, ἢ Φλώρῳ τὰ χρήματα δώσετε.'*

17 ⟨405⟩ *τούτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως τῆς τε Βερενίκης ἀναβάντες εἰς τὸ ἱερὸν κατήρξαντο τῆς τῶν στοῶν δομήσεως· εἰς δὲ τὰς κώμας οἵ τ' ἄρχοντες καὶ οἱ βουλευταὶ μερισθέντες τοὺς φόρους συνέλεγον. ταχέως δὲ τὰ τετταράκοντα τάλαντα* (τοσοῦτον γὰρ ἔλιπεν) *ἠθροίσθη.* ⟨406⟩ *καὶ τοῦ μὲν πολέμου τότε τὴν ἀπειλὴν οὕτω κατέστειλεν Ἀγρίππας· αὖθις δ' ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν Φλώρῳ, μέχρι ἂν ἀντ' αὐτοῦ πέμψῃ Καῖσαρ διάδοχον.* πρὸς ὃ παροξυνθέντες ἐβλασφήμουν εἰς τὸν βασιλέα καὶ πόλεως αὐτὸν ἐξεκήρυττον, ἐτόλμων δέ τινες τῶν στασιαστῶν καὶ λίθους ἐπ' αὐτὸν βάλλειν. ⟨407⟩ *ὁ δὲ βασιλεὺς τὴν ὁρμὴν τῶν νεωτεριζόντων ἀκατάσχετον ὁρῶν, καὶ χαλεπήνας ἐφ' οἷς προπεπηλάκιστο, τοὺς μὲν ἄρχοντας ἅμα τοῖς δυνατοῖς αὐτῶν ἔπεμπε πρὸς Φλῶρον εἰς Καισάρειαν, ἵν' ἐκεῖνος ἐξ αὐτῶν ἀποδείξῃ τοὺς τὴν χώραν φορολογήσοντας, αὐτὸς δ' ἀνεχώρησεν εἰς τὴν βασιλείαν.*

2 ⟨408⟩ *κἀν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελθόντες ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον Μασάδαν, καὶ καταλαβόντες αὐτὸ λάθρᾳ τοὺς μὲν Ῥωμαίων φρουροὺς ἀπέσφαξαν, ἑτέρους δὲ κατέστησαν ἰδίους.* ⟨409⟩ *ἅμα δὲ καὶ κατὰ τὸ ἱερὸν Ἐλεάζαρος υἱὸς Ἀνανίου τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, στρατηγῶν τότε τοὺς κατὰ τὴν λατρείαν λειτουρ-*

γοῦντας ἀναπείθει μηδενὸς ἀλλοφύλου δῶρον ἢ θυσίαν προσδέχεσθαι. τοῦτο δ' ἦν τοῦ πρὸς Ῥωμαίους πολέμου καταβολή· τὴν γὰρ ὑπὲρ τούτων θυσίαν καὶ Καίσαρος ἀπέρριψαν. ⟨410⟩ καὶ πολλὰ τῶν τ' ἀρχιερέων καὶ τῶν γνωρίμων παρακαλούντων μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος, οὐκ ἐνέδοσαν, πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες (καὶ γὰρ τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει), μάλιστα δ' ἀφορῶντες εἰς τὸν Ἐλεάζαρον στρατηγοῦντα.

⟨411⟩ συνελθόντες οὖν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσιν εἰς ταὐτὸ καὶ τοῖς τῶν Φαρισαίων γνωρίμοις, ὡς ἐπ' ἀνηκέστοις ἤδη συμφοραῖς ἐβουλεύοντο περὶ τῶν ὅλων· καὶ δόξαν ἀποπειραθῆναι τῶν στασιαστῶν λόγοις, πρὸ τῆς χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις ἦν τοῦ ἔνδον ἱεροῦ τετραμμένη πρὸς ἀνατολήν. ⟨412⟩ καὶ πρῶτον αὐτῶν πολλὰ πρὸς τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες καὶ τὸ τηλικοῦτον ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τῆς προφάσεως τὸ ἄλογον διήλεγχον, φάμενοι τοὺς μὲν προγόνους αὐτῶν κεκοσμηκέναι τὸν ναὸν ἐκ τῶν ἀλλοφύλων τὸ πλέον, ἀεὶ προσδεχομένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς, ⟨413⟩ κοὐ μόνον οὐ διακεκωλυκέναι θυσίας τινῶν (τοῦτο γὰρ ἀσεβέστατον), ἀλλὰ καὶ τὰ βλεπόμενα καὶ τὰ παραμένοντα τὸν τοσοῦτον χρόνον ἀναθήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. ⟨414⟩ αὐτοὺς δὲ νῦν ἐρεθίζοντας τὰ Ῥωμαίων ὅπλα, καὶ μνησικακουμένους τὸν ἀπ' ἐκείνων πόλεμον, καινοτομεῖν θρησκείαν ξένην, καὶ μετὰ τοῦ κινδύνου καταψηφίσασθαι τῆς πόλεως ἀσέβειαν, εἰ παρὰ μόνοις Ἰουδαίοις οὔτε θύσει τις ἀλλότριος οὔτε προσκυνήσει. ⟨415⟩ κἂν μὲν ἐπ' ἀμάχου τις ἐνὸς τοῦτον εἰσφέρῃ τὸν νόμον, ἀγανακ-

τεῖν ὡς ὁριζομένης ἀπανθρωπίας, περιορᾶν δ' ὅ
Ῥωμαῖοι καὶ ὁ Καῖσαρ ἔκσπονδοι γίγνοιντο. ⟨41
δεδοικέναι μέντοι μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντ
θυσίας κωλυθῶσι θύειν καὶ τὰς ὑπὲρ ἑαυτῶν, γέν
ταί τ' ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ ταχέ
σωφρονήσαντες ἀποδώσουσι τὰς θυσίας, καὶ πρὶν ἐξ
θεῖν ἐφ' οὓς ὑβρίκασι τὴν φήμην, διορθώσονται τ
ὕβριν.

4 ⟨417⟩ ἅμα ταῦτα λέγοντες παρῆγον τοὺς ἐμπείρο
τῶν πατρίων ἱερεῖς, ἀφηγουμένους ὅτι πάντες οἱ πρ
γονοι τὰς παρὰ τῶν ἀλλογενῶν θυσίας ἀπεδέχοντ
προσεῖχε δ' οὐδεὶς τῶν νεωτεριζόντων, ἀλλ' οὐδὲ προ
ῆσαν οἱ λειτουργοί, τὴν τοῦ πολέμου καταβολ
ἐνσκευαζόμενοι. ⟨418⟩ συνιδόντες οὖν οἱ δυνατοὶ τ
τε στάσιν ἤδη δυσκαθαίρετον ὑπ' αὐτῶν οὖσαν κ
τὸν ἀπὸ τῶν Ῥωμαίων κίνδυνον ἐπὶ πρώτους αὐτοὺ
ἀφιξόμενον, ἀπεσκευάζοντο τὰς αἰτίας, καὶ πρέσβει
οὓς μὲν πρὸς Φλῶρον ἔπεμψαν, ὧν ἦρχεν υἱὸς Ἀνα
νίου Σίμων, οὓς δὲ πρὸς Ἀγρίππαν, ἐν οἷς ἦσαν ἐπ
σημοι Σαῦλός τε καὶ Ἀντίπας καὶ Κοστόβαρος, προ
ήκοντες τῷ βασιλεῖ κατὰ γένος. ⟨419⟩ ἐδέοντο
ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλι
καὶ πρὶν γενέσθαι δυσκαθαίρετον, ἐπικόψαι τὴν στάσι
⟨420⟩ Φλώρῳ μὲν οὖν τὸ δεινὸν εὐαγγέλιον ἦν, κ
προῃρημένος ἐξάπτειν τὸν πόλεμον οὐδὲν ἀπεκρίνα
τοῖς πρεσβευταῖς· ⟨421⟩ Ἀγρίππας δὲ κηδόμενος ἐ
ἴσης τῶν τ' ἀφισταμένων καὶ πρὸς οὓς ὁ πόλεμ
ἠγείρετο, βουλόμενός τε Ῥωμαίοις μὲν Ἰουδαίους σ
ζεσθαι Ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρόπολιν, ἀλ
οὐδ' αὐτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενο
ἔπεμψε τοὺς ἐπαμυνοῦντας τῷ δήμῳ τρισχιλίους ἱ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

χρεῶν, ὅπως αὐτοί τε πλῆθος προσλάβωσι τῶν ὠφεληθέντων καὶ μετ' ἀδείας τοῖς εὐπόροις ἐπαναστήσωσι τοὺς ἀπόρους. φυγόντων δὲ τῶν πρὸς τῷ γραμματοφυλακείῳ τὸ πῦρ ἐνίεσαν. ⟨428⟩ ἐπεὶ δὲ τὰ νεῦρα τῆς πόλεως κατέφλεξαν, ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν. ἔνθα δὴ τῶν δυνατῶν καὶ τῶν ἀρχιερέων οἱ μὲν εἰς τοὺς ὑπονόμους καταδύντες διελάνθανον, ⟨429⟩ οἱ δὲ σὺν τοῖς βασιλικοῖς εἰς τὴν ἀνωτέρω καταφυγόντες αὐλὴν ταχέως ἀπέκλεισαν τὰς πύλας, σὺν οἷς Ἀνανίας ὁ ἀρχιερεὺς Ἐξεκίας θ' ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀγρίππαν ἦσαν.

⟨430⟩ τότε μὲν οὖν τῇ νίκῃ καὶ τοῖς ἐμπρησθεῖσιν
7 ἀρκεσθέντες ἀνεπαύσαντο, τῇ δ' ἑξῆς (πεντεκαιδεκάτῃ δ' ἦν Λώου μηνός) ὥρμησαν ἐπὶ τὴν Ἀντωνίαν, καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν ἡμέραις πολιορκήσαντες αὐτούς θ' εἷλον καὶ κατέσφαξαν καὶ τὸ φρούριον ἐνέπρησαν. ⟨431⟩ ἔπειτα μετέβαινον εἰς τὴν αὐλὴν εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον, καὶ διανείμαντες σφᾶς αὐτοὺς εἰς τέτταρα μέρη τῶν τειχῶν ἐπειρῶντο. τὸ δ' ἔνδον πρὸς ἐκδρομὴν μὲν οὐδεὶς ἐθάρρει διὰ τὸ πλῆθος τῶν ἐφεστώτων, διιστάμενοι δ' ἐπὶ τὰ θωράκια καὶ τοὺς πύργους ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν λῃστῶν ὑπὸ τοῖς τείχεσιν ἔπιπτον. ⟨432⟩ οὔτε δὲ νυκτὸς οὔθ' ἡμέρας διέλιπεν ἡ συμβολή, πᾶν μὲν στασιαστῶν ἀπαγορεύσειν τοὺς ἔνδον οἰομένων ἐνδείᾳ τροφῆς, τῶν δ' ἔνδοθεν καμάτῳ τοὺς πολιορκοῦντας.

8 ⟨433⟩ κἀν τούτῳ Μανάιμός τις, υἱὸς Ἰούδα τοῦ καλουμένου Γαλιλαίου, ὃς ἦν σοφιστὴς δεινότατος, καὶ ἐπὶ Κυρινίου ποτὲ Ἰουδαίους ὀνειδίσας ὅτι Ῥωμαίοις ὑπετάττοντο μετὰ τὸν θεόν, ἀναλαβὼν τοὺς

γνωρίμους ἀνεχώρησεν εἰς Μασάδαν, ⟨434⟩ ἔνθα τὴν Ἡρώδου τοῦ βασιλέως ὁπλοθήκην ἀναρρήξας, καὶ πρὸς τοῖς δημόταις ἑτέρους ληστὰς καθοπλίσας, τούτοις τε χρώμενος δορυφόροις οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς Ἱεροσόλυμα, καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως διέταττε τὴν πολιορκίαν. ⟨435⟩ ἀπορία δ' ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύττειν τὸ τεῖχος οὐχ οἷόν τ' ἦν ἄνωθεν βαλλομένους. ὑπόνομον δὴ πόρρωθεν ἐφ' ἕνα τῶν πύργων διορύξαντες ἀναχριμνᾶσιν αὐτόν, ἔπειτα τὴν ἀνέχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. ⟨436⟩ ὑποκαέντων δὲ τῶν στηριγμάτων ὁ μὲν πύργος ἐξαίφνης κατασείεται, τεῖχος δ' ἕτερον ἔνδοθεν ἀντῳκοδομημένον διεφάνη· τὴν γὰρ ἐπιβουλὴν αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ πύργου κινηθέντος ὡς ὑπωρύττετο, δεύτερον ἑαυτοῖς ἔρυμα κατεσκεύασαν. ⟨437⟩ πρὸς ὃ τῶν μὲν ἀδοκήτως ἰδόντων καὶ κρατεῖν ἤδη πεπεισμένων κατάπληξις ἦν, οἱ δ' ἔνδοθεν πρός τε τὸν Μανάιμον καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως ἔπεμπον, ἀξιοῦντες ἐξελθεῖν ὑπόσπονδοι. ⟨438⟩ καὶ δοθὲν μόνοις τοῖς βασιλικοῖς καὶ τοῖς ἐπιχωρίοις, οἳ μὲν ἐξῆσαν, ἀθυμία δὲ τοὺς Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν· οὔτε γὰρ βιάσασθαι τοσοῦτον πλῆθος ἴσχυαντο, καὶ τὸ δεξιὰς αἰτεῖν ὄνειδος ὑπελάμβανον, πρὸς τῷ μηδὲ πιστεύειν εἰ δίδοῖτο. ⟨439⟩ καταλιπόντες δὴ τὸ στρατόπεδον ὡς εὐάλωτον, ἐπὶ τοὺς βασιλικοὺς ἀνέφυγον πύργους, τόν θ' Ἱππικὸν καλούμενον καὶ τὸν Φασάηλον καὶ τὸν Μαριάμμην. ⟨440⟩ οἱ δὲ περὶ τὸν Μανάιμον εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον, ὅσους τ' αὐτῶν κατέλαβον μὴ φθάσαντας ἀνελθεῖν διέφθειραν, καὶ τὰς ἀποσκευὰς διαρπάσαντες ἔσχισαν τὸ στρατόπεδον.

〈441〉 ταῦτα μὲν οὖν ἕκτῃ Γορπιαίου μηνὸς ἐπρά-
9 χθη· κατὰ δὲ τὴν ἐπιοῦσαν ὅ τ' ἀρχιερεὺς Ἀνανίας περὶ τὸν τῆς βασιλικῆς αὐλῆς εὖριπον διαλανθάνων ἁλίσκεται, καὶ πρὸς τῶν λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τἀδελφῷ· καὶ τοὺς πύργους περισχόντες οἱ στασιασταὶ παρεφύλαττον, μή τις τῶν στρατιωτῶν διαφύγοι. 〈442〉 τὸν δὲ Μανάιμον ἥ τε τῶν ὀχυρῶν καταστροφὴ χωρίων καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου θάνατος ἐτύφωσεν εἰς ὠμότητα, καὶ μηδένα νομίζων ἔχειν ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον ἀφόρητος ἦν τύραννος. 〈443〉 ἐπανίστανται δ' οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον ἀλλήλοις δόντες ὡς οὐ χρὴ Ῥωμαίων ἀποστάντας δι' ἐλευθερίας πόθον καταπροέσθαι ταύτην οἰκείῳ δημίῳ, καὶ δεσπότην φέρειν, εἰ καὶ μηδὲν πράττοι βίαιον, ἀλλ' οὖν ἑαυτῶν ταπεινότερον (εἰ γὰρ καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι, παντὶ μᾶλλον ἢ ἐκείνῳ προσήκειν), συντίθενται, καὶ κατὰ τὸ ἱερὸν ἐπεχείρουν αὐτῷ· 〈444〉 σοβαρὸς γὰρ ἀναβεβήκει προσκυνήσων, ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος καὶ τοὺς ζηλωτὰς ἐνόπλους ἑφελκόμενος. 〈445〉 ὡς δ' οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ' αὐτὸν ὥρμησαν, ὅ τε λοιπὸς δῆμος λίθους ἁρπάσαντες τὸν σοφιστὴν ἔβαλλον, οἰόμενοι τούτου καταλυθέντος διαστρέψειν ὅλην τὴν στάσιν, 〈446〉 πρὸς ὀλίγον οἱ περὶ τὸν Μανάιμον ἀντισχόντες, ὡς εἶδον πᾶν ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν, ἔφευγον ὅπῃ τις ἴσχυεν· καὶ φόνος μὲν ἦν τῶν καταληφθέντων, ἔρευνα δὲ τῶν ἀποκρυπτομένων. 〈447〉 καὶ διεσώθησαν ὀλίγοι, λάθρᾳ διαδράντες εἰς Μασάδαν, σὺν οἷς Ἐλεάζαρος υἱὸς Ἰαείρου, προσήκων τῷ Μαναΐμῳ κατὰ γένος, ὃς ὕστερον ἐτυράννησε τῆς Μασάδας. 〈448〉 αὐτόν τε τὸν Μανάιμον εἰς τὸν καλούμενον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ἦν κοῦφον (ἐκ γὰρ ἁπλέτου δυνάμεως ἀπανηλώθησαν ὀλίγοι), Ἰουδαίοις δὲ προοίμιον ἁλώσεως ἔδοξε. ⟨455⟩· καὶ κατιδόντες ἀνηκέστους μὲν ἤδη τὰς αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην ἐξ οὗ δαιμόνιόν τι μήνιμα προσδοκᾶν εἰκὸς ἦν, εἰ καὶ μὴ τὴν ἐκ Ῥωμαίων ἄμυναν, ἐπένθουν δημοσίᾳ, καὶ πλήρης μὲν κατηφείας ἦν ἡ πόλις, ἕκαστος δὲ τῶν μετρίων ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν δίκας δώσων ἐτετάραχτο. ⟨456⟩ καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν καὶ τῶν ὁσίων ἔργων ἔχουσιν ἐκεχειρίαν.

18 ⟨457⟩ τῆς δ' αὐτῆς ἡμέρας καὶ ὥρας, ὥσπερ ἐκ δαιμονίου προνοίας, ἀνῄρουν οἱ Καισαρεῖς τοὺς παρ' αὐτοῖς Ἰουδαίους, ὡς ὑπὸ μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ δισμυρίους, κενωθῆναι δὲ πᾶσαν Ἰουδαίων τὴν Καισάρειαν· καὶ γὰρ τοὺς διαφεύγοντας ὁ Φλῶρος συλλαβὼν κατήγαγε δεσμώτας εἰς τὰ νεώρια. ⟨458⟩ πρὸς δὲ τὴν ἐκ τῆς Καισαρείας πληγὴν ὅλον τὸ ἔθνος ἐξαγριοῦται, καὶ διαμερισθέντες τάς τε κώμας τῶν Σύρων καὶ τὰς προσεχεῖς ἐπόρθουν πόλεις, Φιλαδέλφειάν τε καὶ Σεβωνῖτιν καὶ Γέρασαν καὶ Πέλλαν καὶ Σκυθόπολιν. ⟨459⟩ ἔπειτα Γαδάροις καὶ Ἵππῳ καὶ τῇ Γαυλανίτιδι προσπεσόντες, καὶ τὰς μὲν καταστρεψάμενοι τὰς δ' ὑποπρήσαντες, ἐχώρουν ἐπὶ Κέδασαν τὴν Τυρίων καὶ Πτολεμαΐδα Γάβαν τε καὶ Καισάρειαν. ⟨460⟩ ἀντέσχε δ' οὐδὲ Σεβαστὴ ταῖς ὁρμαῖς αὐτῶν, οὐδ' Ἀσκάλων· ἀλλ' ἐπὶ ταύταις πυρποληθεῖσαις Ἀνθηδόνα καὶ Γάζαν κατέσκαπτον. πολλαὶ δὲ περὶ ἑκάστην τούτων τῶν πόλεων ἀνηρπάζοντο κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν ἄπειρος.

2 ⟨461⟩ οὐ μὴν οἱ Σύροι τῶν Ἰουδαίων ἔλαττον

πλῆθος ἀνῄρουν, ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσι λαμβανομένους ἀπέσφαττον οὐ μόνον κατὰ μῖσος, ὡς πρότερον, ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. ⟨462⟩ δεινὴ δ' ὅλην τὴν Συρίαν ἐπεῖχε ταραχή, καὶ πᾶσα πόλις εἰς δύο διῄρητο στρατόπεδα· σωτηρία δὲ τοῖς ἑτέροις ἦν τὸ τοὺς ἑτέρους φθάσαι. ⟨463⟩ καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆγον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας. ἀπεσκευάσθαι γὰρ τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι τοὺς ἰουδαΐζοντας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔτ' ἀνελεῖν τις προχείρως ὑπέμενε, καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. ⟨464⟩ προυκαλεῖτο δ' ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πραοτάτους εἶναι δοκοῦντας ἡ πλεονεξία· τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἀδεῶς διήρπαζον, καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνῃρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον· ἔνδοξός τ' ἦν ὁ πλεῖστα κερδάνας ὡς κατισχύσας πλειόνων. ⟨465⟩ ἦν δ' ἰδεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις ἀπόνοιαν.

⟨466⟩ μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ 3
ἀλλόφυλον ἦσαν συμβολαί· κατατρέχοντες δ' εἰς Σκυθόπολιν τοὺς παρ' ἐκείνοις Ἰουδαίους ἐπείρασαν πολεμίους· ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν, καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τὴν συγγένειαν, δμόσε τοῖς δμοφύλοις ἐχώρουν. ὑπωπτεύθη δ' αὐτῶν καὶ τὸ λίαν πρόθυμον. ⟨467⟩ οἱ γοῦν Σκυθο-

πολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτούς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος. ⟨468⟩ τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται, τὴν πίστιν αὐτῶν δελεάζοντες, τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες οὓς μὲν ἀφυλάκτους οὓς δὲ κοιμωμένους, ἅπαντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων.

⟨469⟩ ἄξιον δ' ἀφηγήσασθαι καὶ τὸ Σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν Σαούλου τινὸς τῶν οὐκ ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο. ⟨470⟩ προϊὼν γοῦν δσημέραι πολλοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς πάντας μόνος ἦν ῥοπὴ τῆς παρατάξεως. ⟨471⟩ περιέρχεται δ' αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου. ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν τρέπεται τῶν πολεμίων (καὶ γὰρ ἑώρα τὸ πλῆθος ἀνήνυτον), ἀναβοήσας δὲ μάλα ἐκπαθῶς· ⟨472⟩ 'ἄξιά γ' ὧν ἔδρασα καθ' ὑμῶν, πάσχω, Σκυθοπολῖται, ὅτι τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπιστωσάμην. τοιγαροῦν οἷς ἄπιστον μὲν εὐλόγως εὑρηται τὸ ἀλλόφυλον, ἠσέβηται δ' εἰς ἔσχατα τὸ οἰκεῖον, θνήσκωμεν ὡς ἐναγεῖς χερσὶν ἰδίαις· οὐ γὰρ πρέπον ἦν ταῖς τῶν πολεμίων. ⟨473⟩ τὸ δ' αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τοῦ μιάσματος ἀξία καὶ πρὸς ἀνδρείαν ἔπαινος, ἵνα

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

νεωτερίζοντας. ⟨480⟩ Γερασηνοί τ' οὔτ' εἰς τοὺς ἐμ
μείναντας ἐπλημμέλησαν, καὶ τοὺς ἐξελθεῖν ἐθελήσαν
τας προύπεμψαν μέχρι τῶν ὅρων.

6 ⟨481⟩ συνέστη δὲ καὶ κατὰ τὴν Ἀγρίππα βασιλέω
ἐπιβουλὴ κατὰ Ἰουδαίων. αὐτὸς γὰρ ἐπεπόρευτο πρ
Κέστιον Γάλλον εἰς Ἀντιόχειαν, καταλελοίπει δὲ διο
κεῖν τὰ πράγματα τῶν ἑταίρων τινὰ τοὔνομα Νόαρο
Σοαιμῳ τῷ βασιλεῖ προσήκοντα κατὰ γένος. ⟨482
ἦκον δ' ἐκ τῆς Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸ
ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκ
μώτατοι, στρατιὰν αἰτοῦντες, ἵν', εἴ τι γένοιτο κίνημ
καὶ περὶ σφᾶς, ἔχοιεν ἀξιόχρεων φυλακὴν κωλύε
τοὺς ἐπανισταμένους. ⟨483⟩ τούτους ὁ Νόαρος, ἐ
πέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινας, ἅπαν
τας ἀναιρεῖ, τολμήσας μὲν τοὔργον δίχα τῆς Ἀγρίπ
γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφ
λους ἑλόμενος ἀσεβεῖν τὴν βασιλείαν διέφθειρεν· δι
τέλει τ' ὠμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμ
νος Ἀγρίππας ἀνελεῖν μὲν αὐτὸν ἠδέσθη διὰ Σόαιμο
ἔπαυσε δὲ τῆς ἐπιτροπῆς. ⟨484⟩ οἱ δὲ στασιασθ
καταλαβόμενοι φρούριον ὃ καλεῖται μὲν Κύπρος, κ
θύπερθεν δ' ἦν Ἰεριχοῦντος, τοὺς μὲν φρουρο
ἀπέσφαξαν, τὰ δ' ἐρύματα κατέρριψαν εἰς γῆν. ⟨48
κατὰ δὲ τὰς αὐτὰς ἡμέρας καὶ τῶν ἐν Μαχαιροῦ
Ἰουδαίων τὸ πλῆθος ἔπειθον τοὺς φρουροῦντας Ῥ
μαίους ἐκλείπειν τὸ χωρίον καὶ παραδιδόναι σφί
⟨486⟩ οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες σ
τίθενται πρὸς αὐτοὺς ἐκχωρήσειν ὑπόσπονδοι, καὶ λ
βόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φ
λακῇ κρατυνάμενοι κατεῖχον οἱ Μαχαιρῖται.

7 ⟨487⟩ κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στά

πρὸς τὸ Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις ἀφ' οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἰσοτιμίας πρὸς Ἕλληνας. ⟨488⟩ διέμεινε δ' αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. ἐπεί τε Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινε τὰς ἀπ' Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. ⟨489⟩ συμβολαὶ δ' ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς δσημέραι παρ' ἀμφοῖν κολαζόντων ἡ στάσις μᾶλλον παρωξύνετο. ⟨490⟩ τότε δ' ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάραχτο, μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα Ἕλλησι συχνοὶ Ἰουδαίων, ⟨491⟩ κατιδόντες δ' αὐτοὺς οἱ διάφοροι παραχρῆμα μὲν ἀνεβόων πολεμίους καὶ κατασκόπους λέγοντες, ἔπειτ' ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. οἱ μὲν οὖν λοιποὶ φεύγοντες διεσπάρησαν, τρεῖς δ' ἄνδρας συλλαβόντες ἔσυρον ὡς ζῶντας καταφλέξοντες. ⟨492⟩ ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. καὶ τὸ μὲν πρῶτον λίθοις τοὺς Ἕλληνας ἔβαλλον, αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον αὔτανδρον. κἂν ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψε Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. ⟨493⟩ οὐ μὴν οὗτός γ' ἀπὸ τῶν ὅπλων ἦρξατο σωφρο-

νίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς παύ
σασθαι παρεκάλει καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τ
τῶν Ῥωμαίων στράτευμα. καταχλευάζοντες δὲ τῆ
παραχλήσεως οἱ στασιώδεις ἐβλασφήμουν τὸν Τιβέριον.
8 ⟨494⟩ κἀκεῖνος συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς
οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ
κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα καὶ σὺν αὐ-
τοῖς πεντακισχιλίους στρατιώτας κατὰ τύχην παρόντας
εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης. ἐπέτρεψε δ' οὐ
μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπά-
ξειν καὶ τὰς οἰκίας καταφλέγειν, ⟨495⟩ οἳ δ' ὁρμή-
σαντες εἰς τὸ καλούμενον Δέλτα (συνῴκιστο γὰρ ἐκεῖ
τὸ Ἰουδαϊκόν) ἐτέλουν τὰς ἐντολάς, οὐ μὴν ἀναιμωτὶ
συστραφέντες γὰρ οἱ Ἰουδαῖοι, καὶ τοὺς ἄμεινον ἐπ-
λισμένους ἑαυτῶν προταξάμενοι, μέχρι πλείστου μὲν
ἀντέσχον, ἅπαξ δ' ἐγκλίναντες ἀνέδην διεφθείροντο·
⟨496⟩ καὶ παντελὴς ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν
τῷ πεδίῳ καταλαμβανομένων, τῶν δ' εἰς τὰς οἰκίας
συνωθουμένων. ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥω-
μαῖοι, προδιαρπάζοντες τὰ ἔνδον. καὶ οὔτε γηρᾶος
ἔλεος αὐτοῖς οὔτ' αἰδὼς εἰσῄει γερόντων, ἀλλὰ διὰ
πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ⟨497⟩ ὡς ἐπικλυ-
σθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριά-
δας σωρευθῆναι νεκρῶν. περιελείφθη δ' ἂν οὐδὲ ὁ
λοιπόν, εἰ μὴ πρὸς ἱκετείαν ἐτράποντο. κατοικτείρας
δ' αὐτοὺς Ἀλέξανδρος ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέ-
λευσεν. ⟨498⟩ οἳ μὲν οὖν ἐξ ἔθους ἔχοντες τὸ στυ-
γητὸν ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο, τὸ δη-
μοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους
δυσανάκλητον ἦν καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων·
⟨499 τοιοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ἀδοκήτως ἐπέπεσον καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν.

10 ⟨507⟩ ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προύπεμψεν εἰς Ἰόπην, προστάξας, εἰ μὲν καταλαβέσθαι δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν, εἰ δὲ προαισθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ τὴν ἄλλην δύναμιν. ⟨508⟩ τῶν δ' οἱ μὲν κατὰ θάλατταν οἱ δὲ κατὰ γῆν ἐπειχθέντες, ἀμφοτέρωθεν αἱροῦσι τὴν πόλιν ῥᾳδίως· καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς, καὶ τὴν πόλιν διαρπάσαντες ἐνέπρησαν. ⟨509⟩ ὁ δ' ἀριθμὸς τῶν φονευθέντων τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς Καισαρείας Ναρβατηνὴν τοπαρχίαν ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων, τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν.

11 ⟨510⟩ εἰς δὲ τὴν Γαλιλαίαν ἀπέστειλε Καισέννιον Γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. ⟨511⟩ τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας πόλις Σέπφωρις μετ εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν. τὸ δὲ στασιῶδες καὶ ληστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἀντικρὺ τῆς Σεπφώρεως, καλεῖται δ' Ἀσαμών. τούτοις ὁ Γάλλος ἐπῆγε τὴν δύναμιν. ⟨512⟩ οἱ δ' ἕως μὲν ἦσαν ὑπερδέξιοι, ῥᾳδίως τοὺς Ῥωμαίους ἔβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον· περιελθόντων δὲ καὶ γε-

νομέων ἐν τοῖς ὑψηλοτέροις ἡττῶντο ταχέως, κοὔτε γυμνῆται τοὺς ὁπλίτας συστάδην ἔφερον, οὔτ' ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον, ὥστ' ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δ' ὑπὲρ δισχιλίους.

〈513〉 Γάλλος μὲν οὖν ὡς οὐδὲν ἔθ' ἑώρα κατὰ 19
τὴν Γαλιλαίαν νεωτεριζόμενον, ὑπέστρεψε μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν· Κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας ἐνέβαλεν εἰς Ἀντιπατρίδα, καὶ καθήμενος ἔν τινι πύργῳ Ἀφεκοῦ καλουμένῳ συνηρεῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προύπεμψε τοὺς συμβαλοῦντας. 〈514〉 οἳ δέ, πρὶν εἰς χεῖρας ἐλθεῖν, δέει τοὺς Ἰουδαίους διεσκέδασαν, ἐπελθόντες δ' ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. 〈515〉 ἀπὸ δὲ τῆς Ἀντιπατρίδος Κέστιος εἰς Λύδδα προελθὼν κενὴν ἀνδρῶν τὴν πόλιν κατέλαμψε· διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. 〈516〉 πεντήκοντα δὲ τῶν παραφανέντων διαφθείρας καὶ τὸ ἄστυ πυρπολήσας ἐχώρει πρόσω, καὶ διὰ Βαιθωρῶν ἀναβὰς στρατοπεδεύεται κατά τινα χῶρον Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντήκοντα σταδίους.

〈517〉 οἱ δὲ Ἰουδαῖοι κατιδόντες ἤδη πλησιάζοντα 2
μητροπόλει τὸν πόλεμον, ἀφέμενοι τῆς ἑορτῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαρροῦντες ἅπαντες καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, καὶ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες· ἦν γὰρ τοῦτο μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. 〈518〉 ὁ δ' ἐκσείσας αὐτοὺς τῆς εὐσεβείας θυμὸς ἐποίησε πολεμῆσαι καὶ κατὰ τὴν μάχην. μετὰ τοσαύτης γοῦν

ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον ὡς διαρρῆξαι τὰς τάξεις αὐτῶν καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντες. ⟨519⟩ εἰ δὲ μὴ τῷ χαλασθέντι τῆς φάλαγγος οἵ θ' ἱππεῖς ἐκπεριελθόντες ἐπήμυναν καὶ τῶν πεζῶν τὸ μὴ σφόδρα καμόν, κἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει Κέστιος. ἀπέθανον δὲ Ῥωμαίων πεντακόσιοι δεκαπέντε (τούτων ἦσαν οἱ τετρακόσιοι πεζοί, τὸ δὲ λοιπὸν ἱππεῖς), τῶν δὲ Ἰουδαίων δύο πρὸς τοῖς εἴκοσι. ⟨520⟩ γενναιότατοι δ' αὐτῶν ἔδοξαν οἱ Μονοβάζου τοῦ τῆς Ἀδιαβηνῆς βασιλέως συγγενεῖς, Μονόβαξός τε καὶ Κενεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ καὶ Σίλας ὁ Βαβυλώνιος, αὐτομολήσας εἰς τοὺς Ἰουδαίους ἀπ' Ἀγρίππα τοῦ βασιλέως· ἐστρατεύετο γὰρ παρ' αὐτῷ. ⟨521⟩ κατὰ πρόσωπον μὲν οὖν ἀνακοπέντες οἱ Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον, κατόπιν δὲ τοῖς Ῥωμαίοις ἐπὶ τὴν Βαιθωρῶν ἀνιοῦσι προσπεσὼν ὁ τοῦ Γιώρα Σίμων πολὺ τῆς οὐραγίας ἐσπάραξε, καὶ συχνὰ τῶν σκευοφόρων ἐξαρπάσας ἤγαγεν εἰς τὴν πόλιν. ⟨522⟩ μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ Ἰουδαῖοι τὰ μετέωρα κατειληφότες ἐπετήρουν τὰς παρόδους, δῆλοί τ' ἦσαν οὐκ ἠρεμήσοντες ἀρξαμένων τῶν Ῥωμαίων ὁδεύειν.

3 ⟨523⟩ ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίνδυνα πλήθους ἀπείρου πολεμίων τὰ ὄρη περιέχοντος, ἔκρινεν ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγοις· ἢ γὰρ πάντας πείσειν καταθέσθαι τὸν πόλεμον, ἢ τῶν ἐναντίων ἀποστήσειν τὸ μὴ συμφρονοῦν. ⟨524⟩ ἔπεμψεν οὖν τῶν παρ' ἑαυτῷ τοὺς μάλιστα γνωρίμους ἐκείνοις, Βορκαῖόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίων ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

χειρήσεως· ⟨532⟩ καὶ παρὰ τὴν αἰτίαν ταύτην ὁ τ
πόλεμος ἐπὶ τοσοῦτον μῆκος προύβη καὶ Ἰουδαίους
ἀνηκέστων συμφορῶν ἀναπλησθῆναι συνέπεσεν.
⟨533⟩ ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν
Ἀνάνῳ τῷ Ἰωνάθου παιδὶ πεισθέντες, ἐκάλουν τὸν
Κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. ⟨534⟩ ὁ δὲ
καὶ πρὸς ὀργὴν ὑπεριδὼν καὶ μὴ πάνυ πιστεύσας διε-
μέλλησεν, ἕως οἱ στασιασταὶ τὴν προδοσίαν αἰσθόμενοι
τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον
καὶ λίθοις παίοντες συνήλασαν εἰς τὰς οἰκίας, αὐτοὶ
δὲ διαστάντες ἐπὶ τῶν πύργων τοὺς ἀποπειρωμένους
τοῦ τείχους ἔβαλλον. ⟨535⟩ πέντε μὲν οὖν ἡμέραι
πάντοθεν ἐπιχειροῦσι τοῖς Ῥωμαίοις ἀμήχανος ἦν
προσβολή· τῇ δ' ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν
ἐπιλέκτων συχνοὺς καὶ τοὺς τοξότας κατὰ τὸ προσάρ-
τιον ἐπιχειρεῖ κλῖμα τῷ ἱερῷ. ⟨536⟩ Ἰουδαῖοι δ' ἀπ
τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺ
τῷ τείχει προσελθόντας, τέλος δὲ τῷ πλήθει τῶν βε
λῶν ἀνακοπέντες ὑπεχώρησαν. ⟨537⟩ τῶν δὲ Ῥω
μαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερε
σαντες, καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἱ θ' ἑξῆ
δμοίως, τὴν καλουμένην παρ' αὐτοῖς χελώνην ἐφρα
ξαντο, καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθανε
ἄπρακτα, μηδὲν δ' οἱ στρατιῶται κακούμενοι τὸ τεῖχο
ὑπώρυττον καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράνα
παρεσκευάζοντο. ⟨538⟩ δεινὴ δὲ τοὺς στασιαστὰς ἐ
πληξις κατέλαβεν· ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπ
τῆς πόλεως ὡς ἁλωσομένης αὐτίκα. τὸν δὲ δῆμο
συνέβαινεν ἐπὶ τούτοις θαρρεῖν, καὶ καθὸ παρείκου
οἱ πονηροί, προσῆσαν αὐτοὶ τὰς πύλας ἀνοίξοντες κ
δεξόμενοι τὸν Κέστιον ὡς εὐεργέτην· ⟨539⟩ ὃς

αχὺ τῇ πολιορκίᾳ προσελιπάρησε, κἂν εὐθέως τὴν λιν παρέλαβεν. ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεκαμμένος ὁ θεὸς ἤδη καὶ τὰ ἅγια τέλος λαβεῖν ἐπ' ίνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον. ⟨540⟩ ὁ 7 ὴν Κέστιος οὔτε τὴν τῶν πολιορκουμένων ἀπόθσιν οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδών, ἐξαίς ἀνεκάλεσε τοὺς στρατιώτας, καὶ καταγνοὺς ἐπ' εμιᾷ πληγῇ τῶν ἐλπίδων παραλογώτατ' ἀπὸ τῆς λεως ἀνέξευξεν. ⟨541⟩ πρὸς δὲ τὴν ἀδόκητον αὐτροπὴν ἀναθαρρήσαντες οἱ λῃσταὶ κατὰ τῶν ὑστάἐπεξέδραμον, καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν θειραν.

⟨542⟩ τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν Σκοπὸν αὐται στρατοπέδῳ Κέστιος, τῇ δ' ἐπιούσῃ προσωτέρω ιξόμενος μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους· καὶ ς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, καὶ ν' ἑκάτερον τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαυς. ⟨543⟩ οὔτε δ' ἐπιστραφῆναι πρὸς τοὺς κατότιτρώσκοντας ἐθάρρουν οἱ τελευταῖοι, ἄπειρόν τι βθος οἰόμενοι διώκειν, καὶ τοὺς κατὰ πλευρὰν ἐγκειους ἀναστέλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες ιεῖς καὶ δεδοικότες τὴν τάξιν διασπᾶν, τοὺς δὲ Ἰουους δρῶντες κούφους καὶ πρὸς τὰς ἐπιδρομὰς εὐους, ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι μηἀντιβλάπτουσι τοὺς ἐχθρούς. ⟨544⟩ παρ' ὅλην τὴν ὁδὸν παιόμενοι καὶ τῆς φάλαγγος ἐκσειόμενοι ἔπιπτον, μέχρι πολλῶν διαφθαρέντων, ἐν οἷς ἦν ἶσχος μὲν στρατοπεδάρχης τάγματος ἕκτου, Λογγῖδὲ χιλίαρχος, ἔπαρχος δ' ἴλης Αἰμίλιος Ἰουκοῦνδος μα, μόλις εἰς Γαβαὼ κατήντησαν ἐπὶ τὸ πρότερον ατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες.

〈545〉 ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ Κέστιος, ἀμηχανῶν ὅ τι χρὴ ποιεῖν, τῇ τρίτῃ δὲ πολλῷ πλείους τοὺς πολεμίους θεασάμενος καὶ πάντα τὰ κύκλῳ μεστὰ Ἰουδαίων, ἔγνω καθ' ἑαυτοῦ τε βραδύνας, κἂν ἔτι μείνῃ πλείοσι χρησόμενος ἐχθροῖς.

8 〈546〉 ἵνα δὴ συντονωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρατιὰν ἀνθέλκοντα περικόπτειν προσέταξε. διαφθαρέντων δὲ τῶν τ' ὀρέων καὶ τῶν ὄνων ἔτι δὲ καὶ τῶν ὑποζυγίων, πλὴν ὅσα βέλη παρεκόμιζε καὶ μηχανάς (τούτων γὰρ διὰ τὴν χρείαν περιείχοντο, καὶ μάλιστα δεδοικότες μὴ Ἰουδαίοις κατ' αὐτῶν ἁλῷ), προῆγε τὴν δύναμιν ἐπὶ Βαιθώρας. 〈547〉 οἱ δὲ Ἰουδαῖοι κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον ἐπέκειντο, συνειληθέντων δ' εἰς τὰ στενὰ καὶ τὴν κατάβασιν, οἳ μὲν φθάσαντες εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοὺς ὑστάτους κατεώθουν εἰς τὴν φάραγγα. τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. 〈548〉 ἔνθα καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς ἐπισφαλέστερος τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν· οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι, καὶ τι πρόσαντες ἐπὶ τοὺς πολεμίους ἱππάσιμον οὐκ ἦι 〈549〉 τὸ δ' ἐπὶ θάτερα κρημνοὶ καὶ φάραγγες, εἰ οὓς ἀποσφαλέντες κατεφέροντο. κοὔτε φυγῆς τις τρ πον οὔτ' ἀμύνης εἶχεν ἐπίνοιαν, ἀλλ' ὑπ' ἀμηχανία ἐπ' οἰμωγὴν ἐτράποντο καὶ τοὺς ἐν ἀπογνώσεσι ὀδυρμούς· ἀντήχει δ' αὐτοῖς τὸ παρὰ Ἰουδαίων ἐγκ λευμα καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμ νων. 〈550〉 ὀλίγου δὲ δεῖν πᾶσαν ἂν ἥρπασαν τὴ ἅμα Κεστίῳ δύναμιν, εἰ μὴ νὺξ ἐπέλαβεν, ἐν ᾗ Ῥω μαῖοι μὲν εἰς τὴν Βαιθώραν κατέφυγον, Ἰουδαῖ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

Κοστόβαρος γοῦν καὶ Σαοῦλος ἀδελφοὶ σὺν Φιλίππῳ τῷ Ἰακίμου (στρατοπεδάρχης δ' ἦν οὗτος Ἀγρίππα τοῦ βασιλέως) διαδράντες ἐκ τῆς πόλεως ᾤχοντο πρὸς Κέστιον. ⟨557⟩ ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασιλικὴν αὐλὴν πολιορκηθεὶς Ἀντίπας ὑπεριδὼν τὴν φυγὴν αὐθις ὡς ὑπὸ τῶν στασιαστῶν διεφθάρη δηλώσομεν. ⟨558⟩ Κέστιος δὲ τοὺς περὶ Σαοῦλον ἀξιώσαντας ἀνέπεμψεν εἰς Ἀχαΐαν πρὸς Νέρωνα, τήν θ' αὑτῶν δηλώσοντας ἀνάγκην καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας εἰς Φλῶρον· τῇ γὰρ ἐπ' ἐκεῖνον ὀργῇ κουφιεῖν καὶ τοὺς ἑαυτοῦ κινδύνους ἤλπισεν.

2 ⟨559⟩ κἀν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθόμενοι τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν. ⟨560⟩ καὶ καθὸ μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ πάλαι συνηθροισμένους, διὰ τὰς ὑποψίας τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν· ἐδεδοίκεσαν δὲ τὰς ἑαυτῶν γυναῖκας ἁπάσας πλὴν ὀλίγων ὑπηγμένας τῇ Ἰουδαϊκῇ θρησκείᾳ· ⟨561⟩ διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο λαθεῖν ἐκείνας. τοὺς δὲ Ἰουδαίους, ὡς ἂν ἐν στενῷ χωρίῳ, τὸν ἀριθμὸν ὄντας μυρίους καὶ πεντακοσίους πάντας ἀόπλους, ἐπιλθόντες ὑπὸ μίαν ὥραν ἀδεῶς ἔσφαξαν.

3 ⟨562⟩ οἱ δὲ διώξαντες τὸν Κέστιον ὡς ὑπέστρεφαν εἰς Ἱεροσόλυμα, τοὺς μὲν βίᾳ τῶν ἔτι ῥωμαιζόντων τοὺς δὲ πειθοῖ προσήγοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν στρατηγοὺς ἀπεδείκνυσαν τοῦ πολέμου πλείονας. ⟨563⟩ ἠρέθη δὲ Ἰώσηπος υἱὸς Γωρίωνος καὶ ὁ ἀρχιερεὺς Ἄνανος τῶν τε κατὰ τὴν πόλιν ἐπάντων αὐτοκράτορες καὶ μάλιστα τὰ τείχη τῆς πόλεως ἐνεγείρειν. ⟨564⟩ τὸν γὰρ τοῦ Σίμωνος υἱὸν Ἐλεάζαρον, καίπερ ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν καὶ

ἁρπαγέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν μοσίων θησαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις, τόν τε τυραννικὸν δρῶντες καὶ τοὺς ὑπ' αὐτῷ ζητὰς δορυφόρων ἔθεσι χρωμένους. ⟨565⟩ κατ' ὀλίν γε μὴν ἥ τε χρεία τῶν χρημάτων καὶ γοητεύων εάζαρος ἐκπεριῆλθε τὸν δῆμον, ὥστ' αὐτῷ πειθαρν περὶ τῶν ὅλων.

⟨566⟩ εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπελέξαντο 4
κατηγούς, Ἰησοῦν τε τὸν υἱὸν Σαπφία τῶν ἀρχιεν ἕνα καὶ Ἐλεάζαρον ἀρχιερέως υἱὸν Ἀνανίου. τῷ ἄρχοντι τότε τῆς Ἰδουμαίας Νίγερι (γένος δ' ἦν τῆς περὶ Ἰορδάνην Περαίας, διὸ καὶ Περαΐτης ἐπελεῖτο) προσέταξαν ὑποτάττεσθαι τότε τοῖς στρατηις. ⟨567⟩ ἠμέλουν δ' οὐδὲ τῆς ἄλλης χώρας, ἀλλ' μὲν Ἱεριχοῦντα Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν ιφαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας Ἰωάννης ὁ σαῖος στρατηγήσων ἐπέμφθη· προσκεκλήρωτο δ' τῷ Λύδδα καὶ Ἰόπῃ καὶ Ἀμμαοῦς. ⟨568⟩ τῆς δὲ ιφνιτικῆς καὶ Ἀκραβατηνῆς ὁ Ἀνανίου Ἰωάννης ἡγεν ἀποδείκνυται, καὶ τῆς Γαλιλαίας ἑκατέρας Ἰώπος Ματθίου· προσώριστο δὲ τῇ τούτου στρατηγίᾳ Γάμαλα, τῶν ταύτῃ πόλεων ὀχυρωτάτη.

⟨569⟩ τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος ὡς 6
ε προθυμίας καὶ συνέσεως διῴκει τὰ πεπιστευμένα· ώσηπος δ' εἰς τὴν Γαλιλαίαν ἐλθὼν πρῶτον ἐφρόνε τῆς εἰς αὐτὸν εὐνοίας τῶν ἐπιχωρίων, εἰδὼς ὅτι ύτῃ πλεῖστα κατορθώσει, κἂν τἆλλα διαμαρτάνῃ. 70⟩ συνιδὼν δ' ὅτι τοὺς μὲν δυνατοὺς οἰκειώσεται ταδιδοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ πᾶν πλῆθος, δι' ἐγχωρίων καὶ συνήθων τὰ πολλὰ προστάττοι, ν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους

ἐπιλέξας ἐκ τοῦ ἔθνους κατέστησεν ἄρχοντας ὅλης τῆς Γαλιλαίας, ⟨571⟩ ἑπτὰ δ' ἐν ἑκάστῃ πόλει δικαστὰς τῶν εὐτελεστέρων διαφορῶν· τὰ γὰρ μείζω πράγματα καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσε καὶ τοὺς ἑβδομήκοντα. ⟨572⟩ καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ πόλιν, ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει· ⟨573⟩ καὶ γιγνώσκων Ῥωμαίους προεμβαλοῦντας εἰς τὴν Γαλιλαίαν, τἀπιτήδεια τῶν χωρίων ἐτείχιξεν, Ἰωτάπατα καὶ Βηρσαβεὲ καὶ Σελαμίν, ἔτι δὲ Καφαρεκχὼ καὶ Ἰαφὰ καὶ Σιγώφ, τό τε Ἰταβύριον καλούμενον ὄρος καὶ Ταριχαίας καὶ Τιβεριάδα. πρὸς δὲ τούτοις τὰ περὶ Γεννησὰρ τὴν λίμνην σπήλαια κατὰ τὴν κάτω καλουμένην Γαλιλαίαν ἀνετείχισατο, τῆς τ' ἄνω Γαλιλαίας τήν τε προσαγορευομένην Ἀχαβάρων πέτραν καὶ Σὲφ καὶ Ἰαμνὶθ καὶ Μηρώθ· ⟨574⟩ κατὰ δὲ τὴν Γαυλανῖτιν Σελεύκειάν τε καὶ Σωγάνην καὶ Γάμαλαν ὠχύρωσεν. μόνοις δὲ Σεπφωρίταις ἐφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι, χρημάτων τ' εὐπόρους ὁρῶν ὄντας καὶ προθύμους ἐπὶ τὸν πόλεμον δίχα προστάγματος. ⟨575⟩ ὁμοίως δὲ καὶ Γίσχαλα Ἰωάννης ὁ Λευίου υἱὸς καθ' ἑαυτὸν ἐτείχιξεν, Ἰωσήπου κελεύσαντος. τοῖς δ' ἄλλοις ἐρύμασιν αὐτὸς ἅπασι συμπονῶν ἅμα καὶ προστάττων παρῆν. ⟨576⟩ κατέλεξε δὲ καὶ δύναμιν ἐκ τῆς Γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν, οὓς πάντας ἐκ τῶν συλλεγομένων παλαιῶν ὅπλων ἐγκατασκευαξόμενος ὥπλιξεν.

⟨577⟩ ἔπειτα συνιδὼν ἀήττητον τὴν Ῥωμαίων ἰσχὺν γεγενημένην εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν ἀπέγνω τῇ χρείᾳ διωκομένην, τὸ δ' εὐπειθὲς ὁρῶν περιγιγνόμενον ἐκ τοῦ

§ 573 sq. = Vit. Ios. § 187 sq.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

⟨584⟩ ἔτρεφον δὲ πλὴν τῶν μισθοφόρων τὴν ἄλλην στρατιὰν αἱ πόλεις ῥᾳδίως· τῶν γὰρ καταλεγέντων ἑκάστη τοὺς ἡμίσεις ἐπὶ τὴν στρατείαν ἐκπέμπουσα, τοὺς λοιποὺς ἐπὶ συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων κατεῖχεν, ὥστε τοὺς μὲν εἰς ὅπλα τοὺς δ' εἰς ἐργασίαν διῃρῆσθαι, καὶ τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ τῶν ὁπλιτῶν τὴν ἀσφάλειαν.

21 ⟨585⟩ διοικοῦντι δ' οὕτω τῷ Ἰωσήπῳ τὰ κατὰ τὴν Γαλιλαίαν παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχάλων, υἱὸς Λευίου, Ἰωάννης ὄνομα, πανουργότατος μὲν καὶ δολιώτατος τῶν ἐπισήμων ἐν τοῖσδε τοῖς πονηρεύμασιν ἁπάντων, πένης δὲ τὰ πρῶτα καὶ μέχρι πολλοῦ κώλυμα σχὼν τῆς κακίας τὴν ἀπορίαν. ⟨586⟩ ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δ' ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν φιλτάτων χρώμενος, ⟨587⟩ ὑποκριτὴς φιλανθρωπίας, καὶ δι' ἐλπίδα κέρδους φονικώτατος, ἀεὶ μὲν ἐπιθυμήσας μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν κακουργημάτων· λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ συνοδίαν εὗρε τῆς τόλμης, τὸ μὲν πρῶτον ὀλίγην, προκόπτων δ' ἀεὶ πλείονα. ⟨588⟩ φροντὶς δ' ἦν αὐτῷ μηδένα προσλαμβάνειν εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος καὶ ψυχῆς παραστήματι καὶ πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο. μέχρι γοῦν τετρακοσίων ἀνδρῶν στῖφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας καὶ τῶν ἐν αὐτῇ κωμῶν φυγάδες ἦσαν, ⟨589⟩ δι' ὧν ἐλῄζετο πᾶσαν τὴν Γαλιλαίαν, καὶ μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς
2 πολλοὺς ἐσπάραττεν. ⟨590⟩ ἤδη δ' αὐτὸν στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον ἔνδεια χρημάτων κατεῖχεν. ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν αὐτοῦ σφόδρα

χαίροντα τῷ δραστηρίῳ, πείθει πρῶτον μὲν αὐτῷ πιστεῦσαι τὸ τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος, ἐν ᾧ πολλὰ παρὰ τῶν πλουσίων ἐκέρδησεν. ⟨591⟩ ἔπειτα συνθεὶς σκηνὴν πανουργοτάτην, ὡς ἄρα φυλάττοιντο πάντες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι ἐλαίῳ χρῆσθαι μὴ δι' ὁμοφύλων ἐγχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν μεθορίαν ἐξῃτήσατο· ⟨592⟩ συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέτταρας Ἀττικὰς δύναται, τέτταρας ἀμφορεῖς, τῆς αὐτῆς ἐπίπρασκε τιμῆς ἡμιαμφόριον. οὔσης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου μάλιστα καὶ τότε εὐφορηκυίας, εἰς σπανίζοντας πέμπων πολὺ καὶ μόνος ἄπειρόν τι πλῆθος συνῆγε χρημάτων, οἷς εὐθέως ἐχρῆτο κατὰ τοῦ τὴν ἐργασίαν παρασχόντος. ⟨593⟩ καὶ ὑπολαβών, εἰ καταλύσειε τὸν Ἰώσηπον, ὃς ἡγήσεσθαι τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' αὐτὸν [illegible]ταις προσέταξεν εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπα[illegible]ς, ὅπως πολλῶν νεωτεριζομένων κατὰ τὴν χώραν [illegible]διαχρήσαιτό που τὸν στρατηγόν, ἐκβοηθοῦντα λο[illegible]ους, ἢ περιορῶντα τοὺς λῃστὰς διαβάλοι πρὸς τοὺς [illegible]μπορίους. ⟨594⟩ ἔπειτα διεφήμιζε πόρρωθεν ὡς [illegible] προδιδοίη Ῥωμαίοις τὰ πράγματα Ἰώσηπος, καὶ πολλὰ τοιαῦτα πρὸς κατάλυσιν τἀνδρὸς ἐπραγμα[illegible]σατο.

⟨595⟩ καθ' ὃν καιρὸν ἀπὸ Δαβαρίττων κώμης 3
[illegible]σιοί τινες τῶν ἐν τῷ Μεγάλῳ πεδίῳ καθεζομένων [illegible], ἐνεδρεύοντες Πτολεμαῖον τὸν Ἀγρίππα καὶ [illegible] ἐπίτροπον, ἀφείλοντο πᾶσαν ὅσην ἦγεν [illegible]σκευήν, ἐν ᾗ πολυτελεῖς ἐσθῆτες οὐκ ὀλίγαι καὶ [illegible] ἐπιπωμάτων ἀργυρῶν χρυσοῖ τ' ἦσαν ἑξακόσιοι· ⟨596⟩ μὴ δυνάμενοι δὲ διαθέσθαι κρύφα τὴν ἁρπαγήν,

§ 591 = Vit. Ios. § 74. § 595 = Vit. Ios. § 126.

πάντα πρὸς Ἰώσηπον εἰς Ταριχαίας ἐκόμισαν. ⟨597⟩ ὃ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασιλικοὺς βίαιον, τίθησι τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν Ταριχαιατῶν Ἀνναίῳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαιρούμενος· ὃ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. ⟨598⟩ οἱ γὰρ ἁρπάσαντες ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος ἐκ τῶν κεκομισμένων ἀγανακτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ Ἰωσήπου τὴν διάνοιαν, ὅτι μέλλοι τοῖς βασιλεῦσι τὸν πόνον αὐτῶν χαρίζεσθαι, νύκτωρ εἰς τὰς κώμας αὐτῶν διέδραμον, καὶ πᾶσιν ἐνεδείκνυντο τὸν Ἰώσηπον ὡς προδότην. ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥσθ' ὑπὸ τὴν ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. ⟨599⟩ καὶ τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχαίας ἱπποδρόμῳ συνηθροισμένον πολλὰ πρὸς ὀργὴν ἀνεβόα, καὶ οἱ μὲν καταλεύειν οἱ δὲ καίειν τὸν προδότην ἐκεκράγεσαν· παρώξυνε δὲ τοὺς πολλοὺς Ἰωάννης καὶ σὺν αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφία, τότ' ἄρχων τῆς Τιβεριάδος. ⟨600⟩ οἱ μὲν οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου, καταπλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους, ἔφυγον πλὴν τεττάρων πάντες· αὐτὸς δὲ κοιμώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, ⟨601⟩ καὶ παραινούντων φεύγειν τῶν τεττάρων οἱ παρέμειναν, οὔτε πρὸς τὴν καθ' αὑτὸν ἐρημίαν οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγεὶς προπηδᾷ, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταμησάμενος δὲ τῆς κεφαλῆς κόνιν, ἀποστρέψας δ' ὀπίσω τὰς χεῖρας καὶ τὸ ἴδιον ξίφος ἐπιδήσας τῷ τένοντι. ⟨602⟩ πρὸς ἃ τῶν μὲν οἰκείως ἐχόντων, καὶ μάλιστα τῶν Ταριχαιατῶν, οἶκτος ἦν· οἱ δ' ἀπὸ τῆς

§ 601 = Vit. Ios. § 138.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ἀσφαλιεῖσθαι δ' ὁμοίως καὶ τὰς ἄλλας πόλεις· οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ' οὓς δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος.

5 ⟨610⟩ ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἡπατημένων ἐπανεχώρει καίτοι διωργισμένον, δισχίλιοι δ' ἐπ' αὐτὸν ὥρμησαν ἔνοπλοι, καὶ φθάσαντος εἰς τὸ δωμάτιον παρελθεῖν ἀπειλοῦντες ἐφεστήκεσαν. ἐπὶ τούτοις πάλιν Ἰώσηπος ἀπάτῃ δευτέρᾳ χρῆται. ⟨611⟩ ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος καὶ τῇ δεξιᾷ καταστείλας τὸν θόρυβον αὐτῶν ἀγνοεῖν ἔφη τίνων ἀξιοῦσι τυχεῖν· οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν· ὅσα δ' ἂν κελεύσωσι πάντα ποιήσειν, εἰ τοὺς διαλεξομένους ἡσυχῇ πέμψειαν εἴσω πρὸς αὐτόν. ⟨612⟩ ταῦτ' ἀκούσαντες οἱ γνώριμοι σὺν τοῖς ἄρχουσιν εἰσῆσαν. ὁ δὲ σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας, καὶ τὴν αὐλειον ἐπικλείσας, ἐμαστίγωσε μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. περιειστήκει δὲ τέως τὸ πλῆθος, ἀναιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας οἰόμενον. ⟨613⟩ ὅ δὲ τὰς θύρας ἐξαπίνης ἀνοίξας ἠμαγμένους ἐξαφῆκε τοὺς ἄνδρας, καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.

6 ⟨614⟩ πρὸς ταῦτα Ἰωάννης ἐπέτεινε τὸν φθόνον καὶ δευτέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου, σκηψάμενος δὲ νόσον ἱκέτευσε δι' ἐπιστολῆς τὸν Ἰώσηπον ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. ⟨615⟩ ὁ δ' (οὔπω γὰρ ὑπώπτευε τὸν ἐπίβουλον) γράφει τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις ξενίαν τε καὶ τἀπιτήδεια Ἰωάννῃ παρασχεῖν. ὧν ἀπολαύσας μετὰ δύ' ἡμέρας ἐφ' ὃ παρῆν διεπράτ-

§ 612 = Vit. Ios. § 147. § 614 cf. Vit. Ios. § 85.

καὶ τοὺς μὲν ἀπάταις τοὺς δὲ χρήμασι διαφθεί-
ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. ⟨616⟩ καὶ γνοὺς
ὁ Σίλας ὁ φυλάττειν τὴν πόλιν ὑπὸ Ἰωσήπου
σταμένος, γράφει τὰ κατὰ τὴν ἐπιβουλὴν αὐτῷ
κέως. ὁ δὲ Ἰώσηπος ὡς ἔλαβε τὴν ἐπιστολήν,
ὡς δδεύσας συντόνως ἑωθινὸς παρῆν πρὸς τὴν
ρείδα. ⟨617⟩ καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ
τα, Ἰωάννης δέ, καίτοι τὴν παρουσίαν ὑποπτεύων
τοῦ, ὅμως πέμψας τινὰ τῶν γνωρίμων ὑπεκρί-
τὴν ἀσθένειαν, καὶ κλινήρης ὢν ὑστερῆσαι τῆς
ποίας ἔλεγεν. ⟨618⟩ ὡς δ' εἰς τὸ στάδιον τοὺς
μοὺς ἀθροίσας ὁ Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι
τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέτα-
τοῦτον ἀνελεῖν. τούτους τὰ ξίφη γυμνοῦντας ὁ
προϊδὼν ἀνεβόησεν. ⟨619⟩ πρὸς δὲ τὴν κραυ-
Ἰώσηπος ἐπιστραφεὶς καὶ θεασάμενος ἐπὶ τῆς
ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν·
καὶ δὲ δημηγορῶν ἐπὶ βουνοῦ τινος ἐξαπήχους τὸ
καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους σὺν δυσὶ
σφύλαξιν εἰς μέσην τὴν λίμνην ἀνέφυγεν. ⟨620⟩
κρατιῶται δ' αὐτοῦ ταχέως ἁρπάσαντες τὰ ὅπλα τ
τῶν ἐπιβούλων ἐχώρουν. ἔνθα δείσας ὁ Ἰωση-
μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων φθό-
παρανιαλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις
λων μόνης προνοεῖν τῆς αὐτῶν ἀσφαλείας, μήτε
κεῖναν τινὰ μήτ' ἀπελέγχειν τῶν αἰτίων. ⟨621⟩
ς μὲν τῷ παραγγέλματι πεισθέντες ἠρέμησαν, οἱ
τὴν πέριξ χώραν πυθόμενοι τήν τ' ἐπιβουλὴν
ὸν συσκευάσαντα συνηθροίζοντο κατὰ τοῦ Ἰω-
φθάνει δ' ἐκεῖνος εἰς Γίσχαλα φυγὼν τὴν

619 — Vit. Ios. § 96.

πατρίδα. ⟨622⟩ συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι παρεῖναι σφᾶς ἐπὶ τὸν Ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων· συγκαταφλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην πόλιν. ⟨623⟩ ὃ δ' ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν, εἶργε δὲ τὴν ὁρμήν, χειρώσασθαι συνέσει τοὺς ἐχθροὺς μᾶλλον ἢ κτεῖναι προαιρούμενος. ⟨624⟩ ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως Ἰωάννῃ συναφεστῶτας Ἰώσηπος κατ' ὄνομα (προθύμως δ' ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται), καὶ διὰ κηρύκων ἀπειλήσας τῶν ἐντὸς ἡμέρας πέμπτης μὴ καταλιπόντων τὸν Ἰωάννην τάς τ' οὐσίας διαρπάσειν καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, ⟨625⟩ τρισχιλίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρριψαν αὐτοῦ· σὺν δὲ τοῖς καταλειφθεῖσιν (ἦσαν δ' ὅσον εἰς δισχιλίους Σύρων φυγάδες) ἀνέστελλεν Ἰωάννης πάλιν ἐπὶ τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. ⟨626⟩ κρύφα γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὔπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταληφθείη. ⟨627⟩ τούτοις ὁ μὲν δῆμος (ἦν γὰρ προειδώς) οὐ προσεῖχεν, οἱ δυνατοὶ δὲ κατὰ φθόνον καὶ τῶν ἀρχόντων τινὲς λάθρᾳ τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως πολεμήσοι πρὸς Ἰώσηπον. ἐψηφίσαντο δὲ καθ' αὐτοὺς καὶ μεταπαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας. ⟨628⟩ οὐ μὴν ἠξίουν ἀποχρήσειν τὸ δόγμα, δισχιλίους δὲ καὶ πενταχοσίους ὁπλίτας καὶ τέτταρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ Νομικοῦ Ἰωάεσδρον καὶ

§ 626 = Vit. Ios. § 189.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

σαββάτου. ⟨635⟩ δόλῳ δὴ περιελθεῖν ἐπενόει τοὺς ἀποστάντας. καὶ τὰς μὲν πύλας τῶν Ταριχαιῶν ἀποκλεῖσαι κελεύσας, ὡς μὴ προεξαγγείλειέ τις τὸ σκέμμα τοῖς ἐπιχειρουμένοις, τὰ δ' ἐπὶ τῆς λίμνης σκάφη πάντα συναθροίσας (διακόσια δὲ καὶ τριάκοντα εὑρέθη, καὶ ναῦται τεττάρων οὐ πλείους ἦσαν ἐν ἑκάστῳ), ⟨636⟩ διὰ τάχους ἐλαύνει πρὸς τὴν Τιβεριάδα. καὶ τοσοῦτον ἀποσχὼν τῆς πόλεως ἐξ ὅσου συνιδεῖν οὐ ῥᾴδιον ἦν, κενὰς τὰς ἁλιάδας μετεώρους σαλεύειν ἐκέλευσεν, αὐτὸς δὲ μόνους ἑπτὰ τῶν σωματοφυλάκων ἐνόπλους ἔχων ἔγγιον ὀφθῆναι προσῄει. ⟨637⟩ θεασάμενοι δ' αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διάφοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ὁπλιτῶν νομίσαντες, ἔρριψαν τὰ ὅπλα καὶ κατασείοντες ἱκετη-
9 ρίας ἐδέοντο φείσασθαι τῆς πόλεως. ⟨638⟩ ὁ δὲ Ἰώ-
σηπος πολλὰ διαπειλησάμενος αὐτοῖς καὶ κατονειδίσας, εἰ πρῶτον μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους πόλεμον, εἰς στάσεις ἐμφυλίους παραναλίσκουσι τὴν ἰσχὺν καὶ τὰ εὐκταιότατα ποιοῦσι τοῖς ἐχθροῖς, ἔπειτα τὸν κη-
δεμόνα τῆς ἀσφαλείας αὐτῶν ἀναρπάσαι σπεύδουσι καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῷ τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν βεβαιώσεται τὴν πόλιν. ⟨639⟩ κατέβαινον δ' εὐθέως δέκα τῶν Τιβεριέων οἱ δυνατώτατοι. καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων ἀνήγαγε πορρωτάτω, πεντήκοντα δ' ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνω-
ρίμους κελεύει προσελθεῖν, ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ βουλόμενος λαβεῖν. ⟨640⟩ ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προυκαλεῖτο· ⟨641⟩ τοῖς δὲ κυβερνήταις ἐκέλευσε

§ 635 = Vit. Ios. § 164.

τῶν ⟨σκαφῶν⟩ πληρουμένων διὰ τάχους εἰς Ταριχαίας ἐκκλεῖσαι καὶ συγκλείσειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν ἀνήγαγε σκάφεσιν εἰς Ταριχαίας. ⟨642⟩ βοώντων τῶν λοιπῶν αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως ἐκεῖνόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείσασθαι τὴν ὀργήν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα ἐκώλυσε, Λευίαν δέ τινα τῶν αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵν' ἀποκόψῃ τὰς χεῖρας τοῦ Κλείτου. ⟨643⟩ δείσας δ' ἐκεῖνος εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος οὐκ ἔφη. σχετλιάζοντα δὲ τὸν Ἰώσηπον ἐκ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν, καὶ προθυμούμενον αὐτὸν ἀποπηδᾶν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς νεὼς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. ⟨644⟩ κἀκείνου κατανεύσαντος ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψε τὴν λαιάν· εἰς τοσοῦτον δέους ὑπὸ τοῦ Ἰωσήπου ῥοήχθη.

⟨645⟩ τότε μὲν δὴ κενοῖς σκάφεσι καὶ δορυφόροις τισὶ τὸν δῆμον αἰχμαλωτισάμενος πάλιν τὴν Τιβεριάδα προσηγάγετο, μετὰ δ' ἡμέρας ὀλίγας Γίσχαλα ἐπφωρίταις συναποστᾶσαν ἑλὼν ἐπέτρεψε διαρπάσαι οἷς στρατιώταις. ⟨646⟩ συναγαγὼν μέντοι πάντα οἷς δημόταις ἔδωκε, τοῖς τε κατὰ Σέπφωριν ὁμοίως καὶ Τιβεριάδα· καὶ γὰρ ἐκείνους χειρωσάμενος νουθετήσει διὰ τῆς ἁρπαγῆς ἠθέλησε, τῇ δ' ἀποδόσει τῶν ῥημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

⟨647⟩ τὰ μὲν οὖν κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα, καὶ τῶν ἐμφυλίων παυσάμενοι θορύβων ἐπὶ τὰς 22

§ 642 — Vit. Ios. § 171.

νέων πλῆθος ἦν, καὶ μέστ' ἦν πάντα θορύβου. δ
δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ τὰς μελλοι
προορώμενοι συμφορὰς ἀπωλοφύροντο. ⟨650⟩ θεια
δὲ τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι, τοῖς δὲ τὸν π
μον ἐξάψασιν ἐσχεδιάζοντο πρὸς ἡδονήν, καὶ τὸ κ
στημα τῆς πόλεως πρὶν ἐπελθεῖν Ῥωμαίους ἦν
ἀπολουμένης. ⟨651⟩ Ἀνάνῳ γε μὴν φροντὶς ἦν
μικρὸν ἀφισταμένῳ τῶν εἰς τὸν πόλεμον παρασκε
κάμψαι πρὸς τὸ συμφέρον τούς τε στασιαστὰς καὶ
τῶν κληθέντων ξηλωτῶν ἀφροσύνην, ἡττήθη δὲ
βίας. κἀν τοῖς ἔξῆς οἷου τέλους ἔτυχε δηλώσομεν.
2 ⟨652⟩ κατὰ δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν ὁ Γι
Σίμων πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος
ἁρπαγὰς ἐτράπετο, κοὐ μόνον τὰς οἰκίας ἐσπάραττε
πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατηκίζετο, δῆλο
ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραννεῖν. ⟨653⟩ πεμφ
σης δ' ἐπ' αὐτὸν ὑπ' Ἀνάνου καὶ τῶν ἀρχόντων σ
τιᾶς, πρὸς τοὺς ἐν Μασάδᾳ λῃστὰς μεθ' ὧν εἶχε
ἔφυγε, κἀκεῖ μέχρι τῆς Ἀνάνου καὶ τῆς τῶν ἄλ
ἐχθρῶν ἀναιρέσεως μένων συνελήζετο τὴν Ἰδουμ
⟨654⟩ ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλ
τῶν φονευομένων καὶ τὰς συνεχεῖς ἁρπαγὰς στρα
ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. καὶ τὰ
κατὰ τὴν Ἰδουμαίαν ἐν τούτοις ἦν.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

τοῦ θεοῦ προοικονομουμένου, ⟨7⟩ πέμπει τὸν ἄνδρα ληψόμενον τὴν ἡγεμονίαν τῶν ἐπὶ Συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπεῖγον, οἷα κελεύουσιν αἱ ἀνάγκαι, μειλιξάμενός τε καὶ προθεραπεύσας. ⟨8⟩ ὃ δ' ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι, τὸν μὲν υἱὸν Τίτον ἀπέστειλεν ἐπ' Ἀλεξανδρείας τὸ πέμπτον καὶ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα, περάσας δ' αὐτὸς τὸν Ἑλλήσποντον πεζὸς εἰς Συρίαν ἀφικνεῖται, κἀκεῖ τάς τε Ῥωμαϊκὰς δυνάμεις συνήγαγε καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμμάχους.

2 ⟨9⟩ Ἰουδαῖοι δὲ μετὰ τὴν Κεστίου πληγὴν ἐπηρμένοι ταῖς ἀδοκήτοις εὐπραγίαις ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ ἐκριπιζόμενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον. πᾶν γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες ὥρμησαν ἐπ' Ἀσκάλωνα. ⟨10⟩ πόλις ἐστὶν ἀρχαία, τῶν Ἱεροσολύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους, ἀεὶ διὰ μίσους Ἰουδαίοις γεγενημένη, διὸ καὶ τότε ταῖς πρώταις ὁρμαῖς ἐγγιεῖν ἔδοξεν. ⟨11⟩ ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες ἀλκήν τε κορυφαῖοι καὶ σύνεσιν, Νίγερ θ' ὁ Περαΐτης καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ἰωάννης ὁ Ἐσσαῖος. ⟨12⟩ ἡ δ' Ἀσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος· ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρας πεζῶν καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν Ἀντώνιος.

2 ⟨13⟩ οἱ μὲν οὖν πολὺ ταῖς ὁρμαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι, καὶ δὴ παρῆσαν· ⟨14⟩ ὁ δ' Ἀντώνιος (οὐ γὰρ ἠγνόει μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν) προεξήγαγε τοὺς ἱππεῖς, καὶ οὐδὲν οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο

καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέστειλεν. ⟨15⟩ οἱ δὲ πρὸς ἐμπείρους πολέμων ἄπειροι καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύνταχτοί τε πρὸς ἡνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιταττόμενοι πονοῦσι ῥᾳδίως. ⟨16⟩ ὡς γὰρ αὐτῶν ἅπαξ ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιίππτοντες ἀλλήλων ἦσαν πολέμιοι, μέχρι πάντες ταῖς τῶν ἱππέων ἐμβολαῖς εἴξαντες ἐσχεδάσθησαν ἀνὰ κὰν τὸ πεδίον. τὸ δ' ἦν πλατὺ καὶ πᾶν ἱππάσιμον. ⟨17⟩ ὃ δὴ καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν πλεῖστον ἠργάσατο τὸν τῶν Ἰουδαίων φόνον. τούς τε γὰρ φεύγοντας αὐτῶν φθάνοντες ἐπέστρεφον, καὶ τῶν ὑπὸ τοῦ ἄρματος συνειλουμένων διεκπαίοντες ἀπείρους ἀνῄρουν· ἄλλοι δ' ἄλλους, ὅπῃ τρέποιντο, κυκλούμενοι καὶ περιλαυνόντες κατηκόντιζον ῥᾳδίως. ⟨18⟩ καὶ τοῖς μὲν Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία παρὰ τὰς ἀμηχανίας κατεφαίνετο, Ῥωμαῖοι δ' ἐν ταῖς εὐπραγίαις, καίπερ ὄντες ὀλίγοι τῷ πολέμῳ καὶ περιττεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. ⟨19⟩ καὶ τῶν μὲν προσφιλονικούντων τοῖς πταίσμασιν αἰδοῖ τε φυγῆς ταχείας καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν μύριοι τὸν ἀριθμὸν ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε καὶ Σίλας, ⟨20⟩ οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον, σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων Νίγερι, τῆς Ἰδουμαίας εἰς πολίχνην τινά (Σάλλις καλεῖται) ἀναφυγον. ⟨21⟩ ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐκ τῆσδε τῆς παρατάξεως ἐτρώθησαν.

3 ⟨22⟩ *οὐ μὴν οἱ Ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ φρονήματα, μᾶλλον δ' αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας, ὑπερορῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς ἐδελεάζοντο τοῖς προτέροις κατορθώμασιν ἐπὶ πληγὴν δευτέραν.* ⟨23⟩ *διαλιπόντες γοῦν οὐδ' ὅσον* 5 *ἰάσασθαι τὰ τραύματα, καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες, ὀργιλώτεροι καὶ πολὺ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν Ἀσκάλωνα.* ⟨24⟩ *παρείπετο δ' αὐτοῖς μετὰ τῆς ἀπειρίας καὶ τῶν ἄλλων πρὸς πόλεμον ἐλαττωμάτων ἡ προτέρα τύχη.* ⟨25⟩ *τοῦ γὰρ Ἀντωνίου τὰς* 10 *παρόδους προλοχίσαντος ἀδόκητοι ταῖς ἐνέδραις ἐμπεσόντες, καὶ ὑπὸ τῶν ἱππέων πρὶν εἰς μάχην συντάξασθαι κυκλωθέντες, πάλιν πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους, οἱ λοιποὶ δὲ πάντες ἔφυγον, σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν εὐτολμίας ἐπιδειξάμενος* 15 *ἔργα. συνελαύνονται δ' οὖν, προσκειμένων τῶν πολεμίων, εἴς τινα πύργον ὀχυρὸν κώμης Βεξεδὲλ καλουμένης.* ⟨26⟩ *οἱ δὲ περὶ τὸν Ἀντώνιον, ὡς μήτε τρίβοιντο περὶ τὸν πύργον ὄντα δυσάλωτον μήτε ζῶντα τὸν ἡγεμόνα καὶ γενναιότατον τῶν πολεμίων περι-* 20 *ίδοιεν, ὑποπιμπρᾶσι τὸ τεῖχος.* ⟨27⟩ *φλεγομένου δὲ τοῦ πύργου Ῥωμαῖοι μὲν ἀναχωροῦσι γεγηθότες ὡς διεφθαρμένου καὶ Νίγερος, ὃ δ' εἰς τὸ μυχαίτατον τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πυρὸς διασώζεται, καὶ μεθ' ἡμέραν τρίτην τοῖς μετ' ὀλοφυρ-* 25 *μῶν πρὸς κηδείαν αὐτὸν ἐρευνῶσιν ὑποφθέγγεται·* ⟨28⟩ *προελθὼν δὲ χαρᾶς ἀνελπίστου πάντας ἐπλήρωσεν Ἰουδαίους ὡς προνοίᾳ θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς εἰς τὰ μέλλοντα.*

4 ⟨29⟩ *Οὐεσπασιανὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν ἐκ* 30 *τῆς Ἀντιοχείας, ἣ μητρόπολίς ἐστι τῆς Συρίας, μεγέ-*

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τῇ Γαυλανίτιδι· ταύτῃ καὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι· ⟨38⟩ τὰ προσάρκτια δ' αὐτῆς Τύρῳ τε καὶ τῇ Τυρίων χώρᾳ περατοῦται. καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μεχρὶ Χαβουλών, ἧς ἐν τοῖς παραλίοις Πτολεμαῖς γείτων, τὸ μῆκος ἐκτείνεται, ⟨39⟩ πλατύνεται δ' ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης κώμης, ἣ Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἡ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν τῶν Τυρίων γῆν ὁριζει· ⟨40⟩ μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλᾶ κώμης Ἰορδάνου γείτονος.

2 ⟨41⟩ τηλικαῦται δ' οὖσαι τὸ μέγεθος, καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον· ⟨42⟩ μάχιμοί τε γὰρ ἐκ νηπίων καὶ πολλοὶ πάντοτε Γαλιλαῖοι, καὶ οὔτε δειλία ποτὲ τοὺς ἄνδρας οὔτε λιπανδρία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπετείας προκαλέσασθαι καὶ τὸν ἧκιστα γῆς φιλόπονον. ⟨43⟩ προσησκήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν, ἀλλὰ καὶ πόλεις πυκναὶ καὶ τὸ τῶν κωμῶν πλῆθος πανταχοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

3 ⟨44⟩ καθόλου δ', εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτ' ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη καὶ συνεχές ἐστι καρποφόρος, ἡ Περαία δὲ πολὺ μὲν μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν ἡμέρων αὔξησιν ἀγριωτέρα. ⟨45⟩ τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον καὶ τὰ εδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δ

εἰς ἐλαίαν τε καὶ ἄμπελον καὶ φοινικῶνας ἤσκηται, διαρδομένη χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν καὶ πηγαῖς ἀενάοις ἅλις, εἴ ποτ' ἐκεῖνοι σειρίῳ φθίνοιεν. ⟨46⟩ μῆκος μὲν οὖν αὐτῆς ἀπὸ Μαχαιροῦντος εἰς Πέλλαν, εὖρος δ' ἀπὸ Φιλαδελφείας μέχρι Ἰορδάνου. ⟨47⟩ καὶ Πέλλῃ μὲν ἣν προειρήκαμεν τὰ πρὸς ἄρκτον ὁρίζεται, τὰ πρὸς ἑσπέραν δὲ Ἰορδάνῃ· μεσημβρινὸν δ' αὐτῆς πέρας ἡ Μωαβῖτις, καὶ πρὸς ἀνατολὴν Ἀραβίᾳ τε καὶ Σιλβωνίτιδι, πρὸς δὲ Φιλαδελφηνῇ καὶ Γεράσοις ἀποτέμνεται.

⟨48⟩ ἡ δὲ Σαμαρεῖτις χώρα μέση μὲν τῆς Ἰου- 4
δαίας ἐστὶ καὶ τῆς Γαλιλαίας (ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης Γιναίας ὄνομα κώμης, ἐπιλήγει τῆς Ἀκραβατηνῶν τοπαρχίας), φύσιν δὲ τῆς Ἰουδαίας κατ' οὐδὲν διάφορος. ⟨49⟩ ἀμφότεραι γὰρ ὀρειναὶ καὶ πεδιάδες, εἴς τε γεωργίαν μαλθακαὶ καὶ πολυφόροι, κατάδενδροί τε καὶ ὀπώρας ὀρεινῆς καὶ ἡμέρου μεσταί, παρ' ὅσον οὐδαμοῦ φύσει διψάδες, ὕονται δὲ τὸ πλέον. ⟨50⟩ γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως ἐν αὐταῖς, καὶ διὰ πλῆθος πόας ἀγαθῆς τὰ κτήνη πλέον ἢ παρ' ἄλλοις γαλακτοφόρα. μέγιστόν γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθηνίας τὸ πληθύειν ἀνδρῶν ἑκατέραν.

⟨51⟩ μεθόριος δ' αὐτῶν ἡ Ἀνουὰθ Βορκέως προσ- 5
ηγορευομένη κώμη· πέρας αὕτη τῆς Ἰουδαίας τὰ πρὸς βορρᾶν. τὰ νότια δ' αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει προσκυροῦσα τοῖς Ἀράβων ὅροις κώμη, καλοῦσι δ' αὐτὴν Ἰαρδὰν οἱ τῇδε Ἰουδαῖοι. εὖρός γε μὴν ἀπὸ Ἰορδάνου ποταμοῦ μέχρι Ἰόπης ἀναπέταται. ⟨52⟩ μεσαιτάτη δ' αὐτῆς πόλις Ἱεροσόλυμα κεῖται, παρ' ὃ καί τινες οὐκ ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ

τῆς χώρας ἐκάλεσαν. ⟨53⟩ ἀφήρηται δ' οὐδὲ τῶν ἐ
θαλάττης τερπνῶν ἡ Ἰουδαία, τοῖς παραλίοις κατ
τείνουσα μέχρι Πτολεμαΐδος. ⟨54⟩ μερίζεται δ' εἰ
ἕνδεκα κληρουχίας, ὧν ἄρχει μὲν ὡς βασίλειον Ἱερι
σόλυμα, προανίσχουσα τῆς περιοίκου πάσης ὥσπερ
κεφαλὴ σώματος, αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διήρηνται
τὰς τοπαρχίας. ⟨55⟩ Γόφνα δευτέρα, καὶ μετ' αὐτὴ
Ἀκραβαττά, Θαμνὰ πρὸς ταύταις καὶ Λύδδα καὶ Ἀμ
μαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ Ἐγγαδδαὶ κα
Ἡρῴδειον καὶ Ἱεριχοῦς, ⟨56⟩ μεθ' ἃς Ἰάμνεια κα
Ἰόπη τῶν περιοίκων ἀφηγοῦνται, κἀπὶ ταύταις ἡ
Γαμαλιτικὴ καὶ Γαυλανῖτις Βαταναία τε καὶ Τραχω
νῖτις, αἳ καὶ τῆς Ἀγρίππα βασιλείας εἰσὶ μοῖρα. ⟨57
ἀρχομένη δ' ἀπὸ Λιβάνου ὄρους καὶ τῶν Ἰορδάνο
πηγῶν ἡ χώρα μέχρι τῆς Τιβεριάδος λίμνης εὐρύνετα
ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς μέχρι Ἰουλιάδος κ
τείνεται τὸ μῆκος. οἰκοῦσι δ' αὐτὴν μιγάδες Ἰουδα
τε καὶ Σύροι.

4 ⟨58⟩ τὰ μὲν δὴ περὶ τῆς Ἰουδαίων τε καὶ τ
πέριξ χώρας ὡς ἐνῆν μάλιστα συντόμως ἀπηγγέλκαμ
⟨59⟩ ἡ δ' ὑπὸ Οὐεσπασιανοῦ πεμφθεῖσα Σεπφωρίτω
βοήθεια χίλιοι μὲν ἱππεῖς ἑξακισχίλιοι δὲ πεζοί, Πτ
κίδου χιλιαρχοῦντος αὐτῶν, ἐν τῷ μεγάλῳ πεδίῳ στρ
τοπεδευσάμενοι διαιροῦνται, καὶ τὸ μὲν πεζὸν ἐν
πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δ' ἱππικὸν ἐπὶ τ
παρεμβολῆς αὐλίζεται. ⟨60⟩ προϊόντες δ' ἑκατέρω
συνεχῶς καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες μεγά
τοὺς περὶ τὸν Ἰώσηπον ἐκάκουν ἀτρεμοῦντας, τέ
κατὰ πόλιν ἔξωθεν λῃζόμενοι, καὶ προθέοντας δκ
θαρρήσειαν ἀνακόπτοντες. ⟨61⟩ ὥρμησέ γε μὴν
Ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπίσας ἣν αὐτ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

μουμένων τῶν βασιλικῶν, ἱππέας τε καὶ πεζοὺς εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ παμπληθεῖς μὲν εἵποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ ἂν ἀποτάττοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτ' ἐμπειρίᾳ μήτ' ἀλκῇ τινος πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

〈70〉 κἀν τούτῳ μὲν οὖν θαυμάσαι τις ἂν Ῥωμαίων τὸ προμηθές, κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. 〈71〉 εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδοι, γνώσεται τὴν τοσήνδ' ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ δῶρον τύχης. 〈72〉 οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδ' ἐπὶ μόνας τὰς χρείας τῷ χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ ἀπειρηκότες, ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν οὐδ' ἀναμένουσι τοὺς καιρούς. 〈73〉 αἱ μελέται δ' αὐτοῖς οὐδὲν τῆς κατ' ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος δσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται. 〈74〉 διὸ κουφότατα τὰς μάχας διαφέρουσιν· οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντάξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον. 〈75〉 κοὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· 〈76〉 ὅπῃ δ' ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατόπεδον. 〈77〉 τὸ δ' οὐκ εἰκαῖον οὐδ' ἀνώμαλον ἐγείρουσιν, οὐδὲ

πάντες, ἢ ἀτάκτως διαλαβόντες, ἀλλ' εἰ μὲν ἀνώμαλος ὧν τύχοι χῶρος, ἐξομαλίζεται, διαμετρεῖται δὲ παρεμβολὴ τετράγωνος αὐτοῖς. ⟨78⟩ καὶ τεκτόνων πλῆθος ἕπεται, τά τε πρὸς τὴν δόμησιν ἐργαλεῖα. ⟨79⟩ καὶ 2
τὸ μὲν ἔνδον εἰς σκηνὰς διαλαμβάνουσιν, ἔξωθεν δ' ὁ κύκλος τείχους ὄψιν παρέχει, πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. ⟨80⟩ ἐπὶ δὲ τῶν μεταπυργίων τούς τ' ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλα καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, ἅπαντα πρὸς τὰς βολὰς ἕτοιμα. ⟨81⟩ πύλαι δ' ἐνοικοδομοῦνται τέτταρες καθ' ἕκαστον τοῦ περιβόλου κλῖμα, πρός τ' εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς καὶ πρὸς ἐκδρομὰς αὐτῶν, εἰ κατεπείγοι, πλατεῖαι. ⟨82⟩ ῥυμοτομοῦσι δ' εὐδιαθέτως εἴσω τὸ στρατόπεδον. καὶ μέσας μὲν τὰς τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων τὸ στρατήγειον, ναῷ παραπλήσιον. ⟨83⟩ ὥσπερ δ' ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις ἀποδείκνυται καὶ πρωτέχναις χωρίον, θῶκοί τε λοχαγοῖς καὶ ταξιάρχοις, ὅπῃ δικάζοιεν εἴ τινες διαφέροιντο. ⟨84⟩ τειχίζεται δ' ὁ περίβολος καὶ τἀν αὐτῷ πάντα θᾶττον ἐπινοίας πληθεῖ καὶ ἐπιστήμῃ τῶν πονούντων. εἰ δ' ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται, βάθος τετράπηχυς καὶ εὖρος ἴσον. ⟨85⟩ φραξάμενοι δ' αὐλίζονται κατὰ 3
συντάξεις ἕκαστοι μεθ' ἡσυχίας τε καὶ κόσμου. πάντα δ' αὐτοῖς καὶ τἆλλα μετ' εὐταξίας ἀνύεται καὶ ἀσφαλείας, ξυλεία καὶ ἐπισιτισμός, εἴ δέοιντο, καὶ ὑδρεία κατὰ συντάξεις ἑκάστοις. ⟨86⟩ οὐδὲ γὰρ δεῖπνον ἢ ἄριστον, ὁπότε θελήσειαν, αὐτεξούσιον ἑκάστῳ, πᾶσι δ' ὁμοῦ· τούς θ' ὕπνους αὐτοῖς καὶ τὰς φυλακὰς καὶ τὰς ἐξεγέρσεις σάλπιγγες προσημαίνουσιν, οὐδ' ἔστιν ὅ τι γίγνεται δίχα παραγγέλματος. ⟨87⟩ ὑπὸ δὲ τὴν

ἕως τὸ στρατιωτικὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕπεσθαι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς τὸν ἡγεμόνα τῶν ὅλων οἱ ταξίαρχοι πάντες. ⟨88⟩ ὃ δ' αὐτοῖς τό τ' ἐξ ἔθους σημεῖον καὶ τἆλλα παραγγέλματα δίδωσι διαφέρειν εἰς τοὺς ὑποτεταγμένους· ὃ δὴ κἀπὶ παρατάξεως πράττοντες ἐπιστρέφονται ταχέως, ἵν', εἰ δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς καὶ πρὸς τὰς ἀνακλήσεις χωρῶσιν ἀθρόοι.

4 ⟨89⟩ ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν ἡ σάλπιγξ, ἠρεμεῖ δ' οὐδείς, ἀλλ' ἅμα νεύμασι τὰς μὲν σκηνὰς ἀναιροῦσι, πάντα δ' ἐξαρτύονται πρὸς τὴν ἔξοδον. ⟨90⟩ καὶ πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι, οἱ δ' ἐν τάχει τοῖς τ' ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἐπιθέντες τὴν ἀποσκευὴν ἕστασιν ὥσπερ ἀφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι, ὑποπιμπράσί τε ἤδη τὴν παρεμβολήν, ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δ' ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. ⟨91⟩ καὶ τρίτον δ' ὁμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθεὶς τῆς τάξεως. ⟨92⟩ ὅ τε κήρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστάς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσι μέγα τι καὶ πρόθυμον, ἕτοιμοι λέγοντες εἶναι φθάνουσί τε τὸν ἐπερωτῶντα, καί τινος ἀρηίου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς.

5 ⟨93⟩ ἔπειτα προϊόντες ὁδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάττων, οἱ μὲν πεζοὶ θώραξί τε πεφραγμένοι καὶ κράνεσι καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

7 ⟨102⟩ παρασκευάζουσι μὲν οὖν ἐν μελέταις τῶν ὅπλων οὐ τὰ σώματα μόνον ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους, προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. ⟨103⟩ οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου μόνον ἀλλὰ καὶ ῥᾳστώνης ὀλίγης θανατικοί, οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥύονται τοῦ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. ⟨104⟩ τοσοῦτον δ' αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον ὡς ἓν τ' εἰρήνῃ κόσμον εἶναι καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. ⟨105⟩ οὕτως αὐτῶν συναφεῖς μὲν αἱ τάξεις, εὔστροφοι δ' εἰσὶν αἱ περιαγωγαί, ὀξεῖαι δ' ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ⟨106⟩ ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ πάθειν εἰσιν. οὐδ' ἔστιν ὅπου συστάντες ἢ πλήθους ἡττήθησαν ἢ στρατηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. ⟨107⟩ οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; δεόντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλαττον.

8 ⟨108⟩ ταῦτα μὲν οὖν διεξῆλθον οὐ Ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων καὶ εἰς ἀποτροπὴν τῶν νεωτερίζόντων. ⟨109⟩ εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοπαλεύντων καὶ πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. ἐπάνειμι δ' ὅθεν ἐπὶ ταῦτ' ἐξέβην.

6 ⟨110⟩ Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως ἐν τῇ Πτολεμαΐδι συνέταττε τὰς δυνάμεις·

ιὲ τὴν Γαλιλαίαν κατατρέχων Πλάκιδος ἐπεὶ πολὺ
πλῆθος ἀνῃρήκει τῶν καταλαμβανομένων (τοῦτο
ἦν τὸ ἀσθενέστερον Γαλιλαίων καὶ ταῖς ψυχαῖς
κακάμνον), ⟨111⟩ ὁρῶν δὲ τὸ μάχιμον ἀεὶ συμφεῦ-
εἰς τὰς ὑπὸ τοῦ Ἰωσήπου τειχισθείσας πόλεις,
ησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν Ἰωτάπατα, οἰό-
ος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος
τῷ παρὰ τοῖς ἡγεμόσι κἀκείνοις ὄφελος εἰς τὰ
τὰ παρέξειν· προσχωρήσειν γὰρ δέει τὰς ἄλλας πό-
, τῆς καρτερωτάτης ἐχομένης. ⟨112⟩ πολύ γε μὴν
μαρτε τῆς ἐλπίδος· ἐπιόντα γὰρ αὐτὸν οἱ Ἰωτα-
ηνοὶ προαισθόμενοι πρὸ τῆς πόλεως ἐκδέχονται,
τοῖς Ῥωμαίοις συρραγέντες ἀδοκήτοις πολλοὶ καὶ
ς μάχην ἕτοιμοι πρόθυμοί θ' ὡς ἂν ὑπὲρ κινδυ-
νούσης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπον-
ταχέως, ⟨113⟩ καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν
μαίων, ἑπτὰ δ' ἀναιροῦσι διὰ τὸ μήτ' ἄταχτον αὐ-
τὴν ὑποχώρησιν γενέσθαι καὶ τὰς πληγὰς ἐπιπο-
θους, πεφραγμένων πάντοθεν τῶν σωμάτων, τοὺς
Ἰουδαίους πόρρωθεν βάλλειν πλέον ἢ συμπλέ-
θαι θαρρεῖν, γυμνήτας ὁπλίταις. ⟨114⟩ ἔπεσον δὲ
τῶν Ἰουδαίων τρεῖς ἄνδρες καὶ ἐτρώθησαν ὀλίγοι.
Πλάκιδος μὲν οὖν τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώ-
ς εὐρεθεὶς φεύγει, ⟨115⟩ Οὐεσπασιανὸς δ' ὡρμη- 2
ος αὐτὸς ἐμβάλλειν εἰς τὴν Γαλιλαίαν ἐξελαύνει
Πτολεμαΐδος, διατάξας τὴν στρατιὰν ὁδεύειν καθὰ
μαίοις ἔθος. ⟨116⟩ τοὺς μὲν γὰρ ψιλοὺς τῶν ἐπι-
ρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς ἀνακόπ-
ν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς καὶ
ευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας
ς. οἷς εἵπετο καὶ Ῥωμαίων ὁπλιτικὴ μοῖρα, πεζοὶ

τῇ Γαυλανίτιδι· ταύτῃ καὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι· ⟨38⟩ τὰ προσάρκτια δ' αὐτῆς Τύρῳ τε καὶ Τυρίων χώρᾳ περατοῦται. καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μεχρὶ Χαβουλών, ἣ ἐν τοῖς παραλίοις Πτολεμαΐς γείτων, τὸ μῆκος ἐκτείνεται, ⟨39⟩ πλατύνεται δ' ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης κώμης, ἣ Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἣ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν τῶν Τυρίων γῆν ὁρίζει. ⟨40⟩ μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλᾶ κώμης 10 Ἰορδάνου γείτονος.

2 ⟨41⟩ τηλικαῦται δ' οὖσαι τὸ μέγεθος, καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον· ⟨42⟩ μάχιμοί τε γὰρ ἐκ νηπίων καὶ πολλοὶ πάντοτε Γαλιλαῖοι, καὶ οὔπε δειλία ποτὲ τοὺς ἄνδρας οὔτε λιπανδρία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπετείας προκαλέσασθαι καὶ τὸν ἥκιστα γῆς φιλόπονον. ⟨43⟩ προσησκήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν, ἀλλὰ καὶ πόλεις πυκναὶ καὶ τὸ τῶν κωμῶν πλῆθος πανταχοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

3 ⟨44⟩ καθόλου δ', εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτ' ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη καὶ συνεχές ἐστι καρποφόρος, ἡ Περαία δὲ πολὺ μὲν μεῖζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν ἡμέρων αὔξησιν ἀγριωτέρα. ⟨45⟩ τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον καὶ τὰ πεδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δ'

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

τῆς χώρας ἐκάλεσαν. ⟨53⟩ ἀφήρηται δ
θαλάττης τερπνῶν ἡ Ἰουδαία, τοῖς π
τείνουσα μέχρι Πτολεμαΐδος. ⟨54⟩ μ
ἕνδεκα κληρουχίας, ὧν ἄρχει μὲν ὡς
σόλυμα, προανίσχουσα τῆς περιοίκου
κεφαλὴ σώματος, αἱ λοιπαὶ δὲ μετ' α
τὰς τοπαρχίας. ⟨55⟩ Γόφνα δευτέρα,
Ἀκραβαττά, Θαμνὰ πρὸς ταύταις καὶ
μαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ
Ἡρώδειον καὶ Ἱεριχοῦς, ⟨56⟩ μεθ' ἃ
Ἰόπη τῶν περιοίκων ἀφηγοῦνται, κάπ
Γαμαλιτικὴ καὶ Γαυλανῖτις Βαταναία
νῖτις, αἳ καὶ τῆς Ἀγρίππα βασιλείας εἰ
ἀρχομένη δ' ἀπὸ Λιβάνου ὄρους καὶ
πηγῶν ἡ χώρα μέχρι τῆς Τιβεριάδος λίμ
ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς μέχρι
τείνεται τὸ μῆκος. οἰκοῦσι δ' αὐτὴν μι
τε καὶ Σύροι.

4 ⟨58⟩ τὰ μὲν δὴ περὶ τῆς Ἰουδαί
πέριξ χώρας ὡς ἐνῆν μάλιστα συντόμως
⟨59⟩ ἡ δ' ὑπὸ Οὐεσπασιανοῦ πεμφθεῖσ
βοήθεια χίλιοι μὲν ἱππεῖς ἑξακισχίλιοι
κίδου χιλιαρχοῦντος αὐτῶν, ἐν τῷ μεγά
τοπεδευσάμενοι διαιροῦνται, καὶ τὸ μ
πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δ' ἱπ
παρεμβολῆς αὐλίζεται. ⟨60⟩ προϊόντες
συνεχῶς καὶ τὰ πέριξ τῆς χώρας κατατρ
τοὺς περὶ τὸν Ἰώσηπον ἐκάκουν ἀτρεμ
κατὰ πόλιν ἔξωθεν ληῒζόμενοι, καὶ πρ
θαρρήσειαν ἀνακόπτοντες. ⟨61⟩ ὥρμ
Ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπ

πρὶν ἀποστῆναι Γαλιλαίων, ἐτείχισεν ὡς καὶ Ῥωμαίοις
ἀνάλωτον εἶναι. διὸ καὶ τῆς ἐλπίδος ἀφήμαρτε, τοῦ
τε βιάζεσθαι καὶ τοῦ μεταπείθειν Σεπφωρίτας ἀσθε-
νέστερος εὑρεθείς. ⟨62⟩ παρώξυνε δὲ μᾶλλον τὸν
πόλεμον ἐπὶ τὴν χώραν· καὶ οὔτε νύκτωρ οὔτε μεθ'
ἡμέραν ὀργῇ τῆς ἐπιβολῆς οἱ Ῥωμαῖοι·διέλιπον δῃοῦν-
τες αὐτῶν τὰ πεδία, καὶ διαρπάζοντες τἀπὶ τῆς χώρας
πήματα, καὶ κτείνοντες μὲν ἀεὶ τὸ μάχιμον, ἀνδρα-
ποδιζόμενοι δὲ τοὺς ἀσθενεστέρους. ⟨63⟩ πυρὶ δ' ἡ
Γαλιλαία καὶ αἵματι πεπλήρωτο πᾶσα, πάθους τ' οὐδε-
νὸς ἦ συμφορᾶς ἄπειρατος ἦν. μία γὰρ καταφυγὴ διω-
κόμενοις αἱ ὑπὸ τοῦ Ἰωσήπου τειχισθεῖσαι πόλεις ἦσαν.

⟨64⟩ ὁ δὲ Τίτος περαιωθεὶς ἀπὸ τῆς Ἀχαΐας εἰς 2
τὴν Ἀλεξάνδρειαν ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν,
παραλαμβάνει μὲν ἐφ' ἣν ἔσταλτο δύναμιν, συντόνῳ
δὲ χρώμενος πορείᾳ διὰ τάχους εἰς Πτολεμαΐδα ἀφι-
κνεῖται, ⟨65⟩ κἀκεῖ καταλαβὼν τὸν πατέρα, δυσὶ τοῖς
ἐφ' αὐτῷ τάγμασιν (ἦν δὲ τὰ ἐπισημότατα, τὸ πέμπ-
των καὶ τὸ δέκατον) ξεύγνυσι καὶ τὸ ἀχθὲν ὑπ' αὐ-
τῷ πεντεκαιδέκατον. ⟨66⟩ τούτοις εἵποντο ὀκτωκαί-
δεκα σπεῖραι. προσεγένοντο δὲ καὶ ἀπὸ Καισαρείας
πέντε καὶ ἱππέων ἴλη μία, πέντε δ' ἕτεραι τῶν ἀπὸ
Συρίας ἱππέων. ⟨67⟩ τῶν δὲ σπειρῶν αἱ δέκα μὲν
εἶχον ἀνὰ χιλίους πεζούς, αἱ δὲ λοιπαὶ τρισκαίδεκα
δ' ἑξακοσίους μὲν πεζούς, ἱππεῖς δ' ἑκατὸν εἴκοσι.
⟨68⟩ συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη
στρατιωτικόν, Ἀντιόχου μὲν καὶ Ἀγρίππα καὶ Σοαίμου
παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας καὶ χι-
λίους ἱππεῖς, τοῦ δ' Ἄραβος Μάλχου χιλίους πέμψαν-
τος ἱππεῖς ἐπὶ πεζοῖς πενταχισχιλίοις, ὧν τὸ πλέον
ἦσαν τοξόται, ⟨69⟩ ὡς τὴν πᾶσαν δύναμιν, συνεξαριθ-

μουμένων τῶν βασιλικῶν, ἱππέας τε καὶ πεζοὺς εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ παμπληθεῖς μὲν εἶποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ ἂν ἀποτάττοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτ' ἐμπειρίᾳ μήτ' ἀλκῇ τινος πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

5 ⟨70⟩ κἀν τούτῳ μὲν οὖν θαυμάσαι τις ἂν Ῥωμαίων τὸ προμηθές, κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. ⟨71⟩ εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδοι, γνώσεται τὴν τοσήνδ' ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ δῶρον τύχης. ⟨72⟩ οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδ' ἐπὶ μόνας τὰς χρείας τὼ χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ ἀπειρηκότες, ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν οὐδ' ἀναμένουσι τοὺς καιρούς. ⟨73⟩ αἱ μελέται δ' αὐτοῖς οὐδὲν τῆς κατ' ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος ὁσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται. ⟨74⟩ διὸ κουφότατα τὰς μάχας διαφέρουσιν· οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντάξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον, ⟨75⟩ κοὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· ⟨76⟩ ὅπῃ δ' ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατόπεδον. ⟨77⟩ τὸ δ' οὐκ εἰκαῖον οὐδ' ἀνώμαλον ἐγείρουσιν, οὐδὲ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἕως τὸ στρατιωτικὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς τὸν ἡγεμόνα τῶν ὅλων οἱ ταξίαρχοι πάντες. ⟨88⟩ ὃ δ' αὐτοῖς τό τ' ἐξ ἔθους σημεῖον καὶ τἆλλα παραγγέλματα δίδωσι διαφέρειν εἰς τοὺς ὑποτεταγμένους· ὃ δὴ κἀπὶ παρατάξεως πράττοντες ἐπιστρέφονται ταχέως, ἵν', εἰ δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς καὶ πρὸς τὰς ἀνακλήσεις χωρῶσιν ἀθρόοι.

4 ⟨89⟩ ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν ἡ σάλπιγξ, ἠρεμεῖ δ' οὐδείς, ἀλλ' ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσι, πάντα δ' ἐξαρτύονται πρὸς τὴν ἔξοδον. ⟨90⟩ καὶ πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι, οἱ δ' ἐν τάχει τοῖς τ' ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἐπιθέντες τὴν ἀποσκευὴν ἑστᾶσιν ὥσπερ ἀφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι, ὑποπιμπρᾶσί τ' ἤδη τὴν παρεμβολήν, ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δ' ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. ⟨91⟩ καὶ τρίτον δ' ὁμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τῆς τάξεως. ⟨92⟩ ὅ τε κήρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστάς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσι μέγα τι καὶ πρόθυμον, ἕτοιμοι λέγοντες εἶναι, φθάνουσί τε τὸν ἐπερωτῶντα, καί τινος ἀρηίου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς.

5 ⟨93⟩ ἔπειτα προϊόντες δδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάττων, οἱ μὲν πεζοὶ θώραξί τε πεφραγμένοι καὶ κράνεσι καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν.

μικρότερον δ' αὐτῶν τὸ λαιὸν ξίφος πολλῷ. ⟨94⟩ τὸ γὰρ κατὰ δεξιὸν σπιθαμῆς οὐ πλέον ἔχει μῆκος. ⟨95⟩ φέρουσι δ' οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πελτοὶ λόγχην καὶ ἀσπίδα, ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον ἄμην τε καὶ πέλεκυν, πρὸς δ' ἱμάντα καὶ δρέπανον καὶ ἅλυσιν, ἡμερῶν τε τριῶν ἐφόδιον, ὡς ὀλίγου ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων τὸν πεζόν. ⟨96⟩ τοῖς δ' ἱππεῦσι μάχαιρα μὲν ἐκ δεξιῶν μακρὰ καὶ παντὸς ἐπιμήκης ἐν χειρί, θυρεὸς δὲ παρὰ πλευρὸν ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος· κράνη δὲ καὶ θώρακες ὁμοίως τοῖς πεζοῖς ἅπασιν. ⟨97⟩ οὐδενὶ δ' ὅπλῳ διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἔκκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων. κλήρῳ δὲ τῶν ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται.

⟨98⟩ τοιαῦται μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ 6
παλύσεις, πρὸς δ' ὅπλων διαφοραί. οὐδὲν δ' ἀπροβούλευτον ἐν ταῖς μάχαις οὐδ' αὐτοσχέδιον, ἀλλὰ γνώμη μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς δοχθεῖσι δ' ἕπεται τἄργα· ⟨99⟩ παρ' ὃ καὶ σφάλλονται μὲν ἧσσα, κἂν παίσωσι δέ, ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. ⟨100⟩ ἡγοῦνταί τε τῶν ἀπὸ τύχης ἐπιταγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δεδεάζοντος εἰς ἀκρομάθειαν, τῆς σκέψεως δέ, κἂν ἀτυχήσῃ ποτέ, πρὸς τὸ μὴ αὖθις καλὴν ἐχούσης μελέτην, ⟨101⟩ καὶ τῶν μὲν αὐτομάτων ἀγαθῶν οὐ τὸν λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσπεσόντων σκυθρωπῶν παρανθίαν τό γε προσηκόντως βεβουλεῦσθαι.

7 ⟨102⟩ παρασκευάζουσι μὲν οὖν ἐν μελέταις τῶν ὅπλων οὐ τὰ σώματα μόνον ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους, προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. ⟨103⟩ οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου μόνον ἀλλὰ καὶ ῥᾳστώνης ὀλίγης θανατικοί, οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥύονται τοῦ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. ⟨104⟩ τοσοῦτον δ' αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον ὡς ἕν τ' εἰρήνῃ κόσμον εἶναι καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. ⟨105⟩ οὕτως αὐτῶν συναφεῖς μὲν αἱ τάξεις, εὔστροφοι δ' εἰσὶν αἱ περιαγωγαί, ὀξεῖαι δ' ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ⟨106⟩ ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ πάθειν εἰσιν. οὐθ' ἕστιν ὅπου συστάντες ἢ πλήθους ἡττήθησαν ἢ στρατηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. ⟨107⟩ οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; δεόντως γὰρ ἂν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλαττον.

8 ⟨108⟩ ταῦτα μὲν οὖν διεξῆλθον οὐ Ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων. ⟨109⟩ εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοκαλούντων καὶ πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. ἐπάνειμι δ' ὅθεν ἐπὶ ταῦτ' ἐξέβην.

6 ⟨110⟩ Ὀὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως ἐν τῇ Πτολεμαΐδι συνέταττε τὰς δυνάμεις

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

τε καὶ ἱππεῖς. ⟨117⟩ τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν θ' αὑτῶν σκευὴν καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέροντες, ⟨118⟩ καὶ μετ' αὐτοὺς ὁδοποιοί, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσπορουῦν τὸ στράτευμα. ⟨119⟩ κατόπιν δὲ τούτων τάς τ' ἰδίας καὶ τὰς τῶν ὑπ' αὐτὸν ἡγεμόνων ἔταξεν ἀποσκευάς, καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. ⟨120⟩ μεθ' οὓς αὐτὸς ἐξήλαυνε, τούς τ' ἐπιλέκτους τῶν πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων. εἵπετο δ' αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικόν· ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. ⟨121⟩ τούτοις δ' ἠκολούθουν οἱ τὰς ἑλεπόλεις φέροντες ὀρεῖς καὶ τὰ λοιπὰ μηχανήματα. ⟨122⟩ μετὰ δὲ τούτους ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες. ⟨123⟩ ἔπειθ' αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετόν, ὃς παντὸς ἄρχει Ῥωμαίοις τάγματος, βασιλεύς τ' οἰωνῶν ἁπάντων καὶ ἀλκιμώτατος ὤν· ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς καὶ κληδὼν ἐφ' οὓς ἂν ἴωσι τοῦ κρατήσειν δοκεῖ. ⟨124⟩ τοῖς ἱεροῖς δ' ἠκολούθουν οἱ σαλπιγκταί, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατύνασα. τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ ἔθους τὴν τάξιν ἐπισκοπούμενος. ⟨125⟩ τὸ δ' οἰκετικὸν ἑκάστου τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες. ⟨126⟩ κατόπιν δὲ πάντων τῶν ταγμάτων ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων συχνοί.

〈127〉 οὕτως δδεύσας Ὠεσπασιανὸς μετὰ τῆς δυνά- 3
μεως πρὸς τοὺς ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστρατοπεδευσάμενος ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν, ἐπιδεικνύμενός τε τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς πολεμίοις, καὶ μετανοίας διδοὺς καιρόν, εἰ πρὸ μάχης μεταβάλοιντο. ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων ἐξηρτύετο. 〈128〉 μετάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν. 〈129〉 οἱ μὲν γὰρ περὶ τὸν Ἰώσηπον ἐστρατοπεδευκότες οὐκ ἄπωθεν τῆς Σεπφώρεως, παρὰ πόλιν Γαρὶν καλουμένην, ἐπεὶ πλησιάζοντα τὸν πόλεμον ἤκουσαν ὅσον τ' οὔπω τοὺς Ῥωμαίους συμμίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς ἐχθροὺς διασκίδνανται φυγῇ. 〈130〉 καταλείπεται δ' ὁ Ἰώσηπος μετ' ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέχεσθαι τοὺς πολεμίους ἀρκετὴν ἔχοι δύναμιν, καὶ πεπτώκοι τὰ φρονήματα τῶν Ἰουδαίων, ἄσμενοί τ' ἂν εἰ πιστεύοιντο χωροῖεν οἱ πλείους ἐπὶ σπονδάς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέμου, 〈131〉 τότε δ' ὡς πορρωτάτω χωρίζεσθαι τῶν κινδύνων ἔκρινεν. ἀναλαβὼν δὴ τοὺς συμμείναντας εἰς Τιβεριάδα καταφεύγει.

〈132〉 Ὠεσπασιανὸς δὲ τῇ πόλει τῶν Γαδαρέων ἐπελ- 7
θὼν αἱρεῖ τε κατὰ πρώτην ἔφοδον αὐτήν, μαχίμου πλήθους ἔρημον καταλαβών, 〈133〉 καὶ παρελθὼν εἴσω πάντας ἡβηδὸν ἀναιρεῖ, μηδεμιᾶς τῶν Ῥωμαίων ἡλικίας ἧττον ποιουμένων μίσει τῷ πρὸς τὸ ἔθνος καὶ μνήμῃ τῆς κατὰ τὸν Κέστιον αὐτῶν παρανομίας. 〈134〉 ἐμπίμπρησι δ' οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς περιξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελοιπυίας, ἔστι δ' ἃς αὐτὸς ἐξανδραποδιζόμενος.

2 ⟨135⟩ ὁ δὲ Ἰώσηπος ἦν πρὸς ἀσφάλειαν εἵλετο πόλιν, αὐτὸς ἐνέπλησε δέους καταφυγών. οἱ δ' ἐπὶ τῆς Τιβεριάδος οὐκ ἄν, εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτ' αὐτὸν ᾤοντο. ⟨136⟩ καὶ κατὰ τοῦτό γ' οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης· ἑώρα μὲν γὰρ ποῖ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ μίαν αὐτῶν ἤδει σωτηρίαν εἰ μεταβάλοιντο, ⟨137⟩ αὐτὸς δὲ καίπερ συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις ἢ καταπροδοὺς τὴν πατρίδα καὶ τὴν ἐμπιστευθεῖσαν αὐ- 10
τῷ στρατηγίαν ὑβρίσας εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. ⟨138⟩ γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετ' ἀκριβείας τὰ πράγματα, ὡς μήτ' ἐπὶ τὸ μεῖζον ἐξάρας τὴν τῶν πολεμίων ἰσχὺν αὖθις εἰς δειλίαν κακίζοιτο, μήτ' ἐνδεέστερον ἀπαγ- 15
γείλας κἂν μετανοήσαντας ἴσως θρασύνειεν, ⟨139⟩ ἵνα τ' ἢ σπονδὰς αἱρούμενοι ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. ⟨140⟩ ὃ μὲν οὖν ταῦτ' ἐπι-
στείλας πέμπει διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ 20
3 γράμματα κομίζοντας· ⟨141⟩ Οὐεσπασιανὸς δ' ὁρμημένος ἐξαιρεῖν τὴν Ἰωταπάτην (πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν), πέμπει πεζούς τε καὶ ἱππεῖς τοὺς προεξομαλιοῦντας τὴν ὁδόν, ὀρεινὴν ὑπάρχουσαν καὶ πετρώδη, δύσβατον δὲ καὶ πεζοῖς, ἱπ-
πεῦσι δ' ἀμήχανον. ⟨142⟩ οἱ μὲν οὖν τέτταρσιν ἡμέ-
ραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἀνέῳξαν τῇ στρατιᾷ λεωφόρον· τῇ πέμπτῃ δ' ὁ Ἰώσηπος (αὕτη δ' ἦν Ἀρ-
τεμισίου μηνὸς εἰκοστὴ πρώτη) φθάνει παρελθὼν εἰς τὴν Ἰωταπάτην ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἐκηβόλων πλῆθος ἐπιστήσας ἐπέτρεψε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ πρόσαντες ἀνεώθει, καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον, δείσας ὁ Ἰώσηπος περὶ τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων πλῆθος. ⟨152⟩ συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι τοῦ μὲν τείχους ἀνέστειλαν αὐτούς, πολλὰ δ' ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης. οὐκ ἐλάττω γε μὴν ὧν ἔδρων ἀντέπασχον· ⟨153⟩ ὅσον γὰρ αὐτοὺς ἡ τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτον τοὺς Ῥωμαίους αἰδὼς παρεκρότει, καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὤπλιζε τῷ θυμῷ στρατηγουμένους. ⟨154⟩ παρατασσόμενοι δὲ δι' ὅλης ἡμέρας νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, τρισκαίδεκα δ' ἀνελόντες ἄνδρας· αὐτῶν δ' ἔπεσον μὲν δεκαεπτά, τραυματίαι δ' ἐγένοντο ἑξακόσιοι.

6 ⟨155⟩ τῇ δ' ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς Ῥωμαίοις ἐπεξελθόντες πολὺ καρτερώτερον ἀντιπαρετάξαντο, θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώμενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις· ⟨156⟩ ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξεκαίοντο, τὸ μὴ ταχέως νικᾶν ἦτταν ἡγούμενοι, ⟨157⟩ καὶ μέχρι πέμπτης ἡμέρας προσβολαὶ μὲν ἐγίγνοντο τῶν Ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωταπατηνῶν καὶ τειχομαχίαι καρτεράτεραι· καὶ οὔτε Ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατωρρώδουν, οὔτε Ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

7 ⟨158⟩ ἔστι δὲ Ἰωταπάτη πλὴν ὀλίγου πᾶσα χερρόνησος, ἐκ μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότομος, ὡς τῶν κατιδεῖν πειρωμένων τὸ

ὄψεις προεξασθενεῖν τοῦ βάθους, ἀπὸ βορρᾶ δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι τῷ ὄρει πλαγίῳ προσέκτισται. ⟨159⟩ καὶ τοῦτο δ' ὁ Ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν· ⟨160⟩ κυκλόθεν δ' ἄλλοις ὄρεσι καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις εἰς αὐτήν, παντελῶς ἀόρατος ἦν.

⟨161⟩ εἶχε μὲν οὖν οὕτως ὀχυρότητος Ἰωταπάτη, Θεσπασιανὸς δὲ τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλμαις τῶν Ἰουδαίων ἀντιφιλονικῶν ἔγνω καρτερώτερον ἅπτεσθαι τῆς πολιορκίας, καὶ προσκαλεσάμενος τοὺς ὑπ' αὐτὸν ἡγεμόνας ἐβουλεύετο περὶ τῆς προσβολῆς. ⟨162⟩ δόξαν δὲ χῶσαι τὸ προσιτὸν τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ στράτευμα, καὶ κοπέντων τῶν περὶ τὴν πόλιν ὁρῶν, συναλισθείσης δ' ἅμα τοῖς ξύλοις ἀπείρου χερμάδος, ⟨163⟩ οἱ μὲν πρὸς ἀλεωρὰν τῶν ὕπερθεν ἀφιεμένων βελῶν γέρρα διατείναντες ὑπὲρ χαρακωμάτων ἔχουν ὑπ' αὐτοῖς, οὐδὲν ἧττον μικρὰ βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς, ⟨164⟩ οἱ δὲ τοὺς πλησίον ὄχθους ἀνασπῶντες γῆν αὐτοῖς ἀδιαλείπτως προσέφερον· καὶ τριχῇ διηρημένων ἀφγὸς ἦν οὐδείς. ⟨165⟩ οἱ δὲ Ἰουδαῖοι πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν καὶ πᾶν εἶδος βελῶν. ἦν δὲ καὶ μὴ διικνουμένων πολὺς ὁ ψόφος καὶ φοβερὸς ἐμπόδιον τοῖς ἐργαζομένοις.

⟨166⟩ Θεσπασιανὸς δ' ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας (τὰ πάντα δ' ἦν ἑκατὸν ἑξήκοντα ὄργανα) βάλλειν ἐκέλευσε τοὺς ἐπὶ τοῦ τείχους. ⟨167⟩ ὁμοῦ δ' οἵ τε καταπέλται τὰς λόγχας ἀνερροίζουν, καὶ λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλ-

λοντο, πῦρ τε καὶ πλῆθος ἀθρόον ὀιστῶν, ἅπερ οὐ μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ τὴν ἐντὸς ὅσης ἐφικνεῖτο χώρας· ⟨168⟩ καὶ γὰρ καὶ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος ἀκοντισταί τε καὶ σφενδονῆται πάντες ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. ⟨169⟩ οὐ μὴν εἰργόμενοι τῆς καθυπερθεν ἀμύνης ἠρέμουν· ἐκτρέχοντες γὰρ λῃστρικώτερον κατὰ λόχους περιέσπων τε τῶν ἐργαζομένων τὰς σκέπας καὶ τοὺς γυμνουμένους ἔπαιον, καὶ καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τε τὸ χῶμα, καὶ τὰ χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίμπρασαν, ⟨170⟩ μέχρι συνεὶς Ὀὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι τῆς βλάβης (τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχε τόπον) ἑνοῖ τὰς σκέπας· καὶ συναφθείσης ἅμ' αὐταῖς τῆς δυνάμεως ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

10 ⟨171⟩ ἐγειρομένου δὲ τοῦ χώματος ἤδη καὶ ταῖς ἐπάλξεσιν ὅσον οὔπω πλησιάζοντος, δεινὸν ὁ Ἰώσηπος νομίσας εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. ⟨172⟩ τῶν δ' ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε. ⟨173⟩ δρυφάκτους πήξασθαι κελεύσας ἐμπετάσαι τε βύρσας νεοδόρους βοῶν, ὡς ἀναδέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθάνοι δ' ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο, προανίστησι τῶν τεκτόνων· ⟨174⟩ ὑφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν εἰς εἴκοσι πήχεις τὸ ὕψος, καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν αὐτῷ, καρτερὰν δ' ἔπαλξιν ἐφηρμόσαντο. ⟨175⟩ τοῦτο τοῖς

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίου
ὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ
ἵνα συρρέοντας τόπον καὶ μετρουμένο
ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι πο
ν.

ὶ Ὀεσπασιανὸς μὲν οὐκ εἰς μακρὰν τ
νωθέντων ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐ
θαι τὴν πόλιν· ⟨187⟩ ὁ δὲ Ἰώσηπ
λπίδα ταύτην αὐτῷ προαιρούμενος ἐμβ
λείστους τὰ ἱμάτια, καὶ κατακρεμάσαι πε
ὥστε περιρρεῖσθαι πᾶν ἐξαπίνης τὸ τ
πρὸς τοῦτο ἀθυμία τῶν Ῥωμαίων κ
ν, θεασαμένων εἰς χλεύην τοσοῦτον π
ς ὕδατος, οὓς οὐδὲ ποτὸν ἔχειν ὑπελά
καὶ τὸν στρατηγὸν ἀπογνόντα τὴν
ιν τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βία
οῖς Ἰουδαίοις δι' ἐπιθυμίας ἦν· ἀπεγν
ντοὺς καὶ τὴν πόλιν, πρὸ λιμοῦ καὶ δίψ
φ θάνατον ᾑροῦντο.

μέντοι γε Ἰώσηπος πρὸς τῷδε τῷ στρ
ἕτερον ἐπενόησεν εἰς περιουσίαν αὐτ
ινος χαράδρας δυσβάτου καὶ διὰ τοῦ
λάκων ἀμελουμένης, κατὰ τὰ πρὸς δύσ
αγγος, ἐκπέμπων τινὰς γράμματά τε πρ
τῶν ἔξω Ἰουδαίων διεπέμψατο καὶ πα
παντός τ' ἐπιτηδείου τῶν ἀνὰ τὴν π
ότων εὐπόρησεν. ⟨192⟩ ἕρπειν τὰ πολλ

νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν, μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροὶ περιίσχουσι τὴν χαράδραν.

〈193〉 καὶ τότε Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀνθέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν εἰ μένοι, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. συναισθόμενον δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ κατηντιβόλουν μὴ σφᾶς περιιδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους· 〈194〉 εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπίς, ὡς παραμένοντος αὐτοῦ παντὸς ἂν ἀγωνισαμένου δι' αὐτὸν προθύμως, κἂν ἁλῶσι δέ, παραμυθίαν· 〈195〉 πρέπειν δ' αὐτῷ μήτε φεύγειν τοὺς ἐχθροὺς μήτ' ἐγκαταλείπειν τοὺς φίλους, μήτ' ἀποπηδᾶν ὥσπερ (ἐκ) χειμαζομένης νεώς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν· 〈196〉 ἐπιβαπτιεῖν γὰρ αὐτοῖς τὴν πόλιν, μηδενὸς ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, δι' ὃν ἂν θαρροῖεν οἰχομένου.

〈197〉 ὁ δὲ Ἰώσηπος τὸ καθ' αὐτὸν ἀσφαλὲς ὑποστελλόμενος ὑπὲρ αὐτῶν ἔφασκε ποιεῖσθαι τὴν ἔξοδον. 〈198〉 μένων μὲν γὰρ οὔτ' ἂν ὠφελῆσαί τι μέγα σωζομένους, κἂν ἁλίσκωνται, συναπολεῖσθαι περιττῶς· ἐκδὺς δὲ τῆς πολιορκίας ἔξωθεν ὠφελήσειν αὐτοὺς μέγιστα· 〈199〉 τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ἢ τάχος, καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. 〈200〉 οὐχ ὁρᾶν δὲ τί παραχαθεξόμενος αὐτοῖς χρήσιμος ἂν εἴη νῦν, πλὴν εἰ μὴ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, οὓς περὶ πλείστου ποιεῖσθαι λαβεῖν αὐτόν· εἰ δ' ἐκδράντα πύθοιντο, πολὺ τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἕξειν. 〈201〉 οὐκ ἔπειθε δ' αὐτούς, ἀλλὰ μᾶλλον

ἐξέκαυσε τὸ πλῆθος αὐτοῦ περιέχεσθαι. παῖδες γὰ
καὶ γέροντες καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα πρ
ἔπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάν
εἶχοντο, ⟨202⟩ καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι
τύχης μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σω
ρίας, ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῆς αὑτῶν· οὐδὲν γ
ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

17 ⟨203⟩ ὃ δὲ πειθομένῳ μὲν ἱκετηρίαν ταῦτα νο
σας, βιαζομένῳ δὲ φρουράν (πολὺ δ' αὐτοῦ τῆς
τὴν ἀπόλειψιν ὁρμῆς καὶ ὁ τῶν ὀδυρομένων ἔκλαυ
οἶκτος), μένειν τ' ἔγνω, ⟨204⟩ καὶ τὴν κοινὴν
πόλεως ἀπόγνωσιν ὁπλισάμενος, 'νῦν καιρός' εἰπ
'ἄρχεσθαι μάχης, ὅτ' ἐλπὶς οὐκ ἔστι σωτηρίας, [καὶ
εὐκλειαν ἀντικαταλλαξάμενον τοῦ βίου, καὶ ὀφθῆνα
τι γενναῖον εἰς μνήμην ὀψιγόνων παίδων,' ἐπ' ἀ
τρέπεται· ⟨205⟩ καὶ προελθὼν μετὰ τῶν μαχιμω
των διεσκίδνη τε τοὺς φρουρούς, καὶ μέχρι τοῦ στ
τοπέδου τῶν Ῥωμαίων κατέτρεχε, καὶ τὰς μὲν
τῶν χωμάτων δέρρεις, αἷς ὑπεσκήνουν, διέσπα, τ
δ' ἔργοις ἐνέβαλλε πῦρ. ⟨206⟩ τῇ θ' ἑξῆς ὁρμ
καὶ τῇ τρίτῃ, κἀπὶ συχνὰς ἡμέρας καὶ νύκτας πο
μῶν οὐκ ἔκαμνεν.

18 ⟨207⟩ Οὐεσπασιανὸς δέ, τῶν Ῥωμαίων κακουμέν
ταῖς ἐκδρομαῖς (τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαί
ἡδοῦντο, καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλ
ἦσαν βραδεῖς, οἵ τε Ἰουδαῖοι πρίν τι παθεῖν ἀεὶ φρί
τες ἀνέφευγον εἰς τὴν πόλιν), ⟨208⟩ τοῖς μὲν ὁπ
ταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσε, καὶ
συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· ⟨209⟩ οὐδὲν γ
ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως, παρισβέννυσθ
δ' αὐτῶν τὰς ὁρμὰς σκοπῶν ἀπορουμένας, ὅσπερ θ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ὁμοίως δὲ συνήγγιζον οἱ τοξόται καὶ σφενδονῆται. ⟨220⟩ διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων ἐπιβῆναι τολμῶντος, προσῆγον ἕτεροι τὸν κριόν, γέρροις τε διηνεκέσι καὶ καθύπερθεν πεφραγμένον δέρρει πρός τ' αὐτῶν καὶ τοῦ μηχανήματος ἀσφάλειαν· ⟨221⟩ καὶ κατὰ τὴν πρώτην πληγὴν διεσείσθη μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδοθεν ἤρθη καθάπερ ἑαλωκότων ἤδη.

⟨222⟩ πολλάκις δ' εἰς τὸν αὐτὸν παίοντας τόπον δ 'Ιώσηπος δρῶν, καὶ ὅσον οὔπω καταρριφθησόμενον τὸ τεῖχος, σοφίζεται πρὸς ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. ⟨223⟩ σάκκους ἀχύρων πληρώσαντας ἐκέλευσε καθιμᾶν καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν δρᾷεν, ὡς πλάζοιτό θ' ἡ ἐμβολὴ καὶ δεχόμενοι τὰς πληγὰς ἐκκενοῖεν τῇ χαυνότητι. τοῦτο πλείστην διατριβὴν παρέσχε τοῖς 'Ρωμαίοις, ⟨224⟩ καθ' ὃ μὲν τρέποιεν τὴν μηχανήν, ἀντιπαραγόντων τοὺς σάκκους τῶν ὕπερθεν, ὑποβαλλόντων δὲ ταῖς ἐμβολαῖς ὡς μηδὲν καὶ' ἀντιτυπίαν βλάπτεσθαι τὸ τεῖχος, ⟨225⟩ ἕως ἀντεπινοήσαντες κοντοὺς οἱ 'Ρωμαῖοι μακρούς, καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων, τοὺς σάκκους ἀπέτεμνον. ⟨226⟩ ἐνεργοῦ δ' οὕτω τῆς ἑλεπόλεως γενομένης, καὶ τοῦ τείχους (νεοπαγὲς γὰρ ἦν) ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ πυρὸς ἄμυναν οἱ περὶ τὸν 'Ιώσηπον ὥρμησαν. ⟨227⟩ ἁψάμενοι δ' ὅσον αὔης εἶχον ὕλης τριχόθεν ἐπεκθέουσι, καὶ τά τε μηχανήματα καὶ τὰ γέρρα καὶ τὰ χώματα τῶν 'Ρωμαίων ὑπεπίμπρασαν. ⟨228⟩ οἳ δὲ κακῶς ἐπεβοήθουν, πρός τε τὴν τόλμαν αὐτῶν καταπεπληγότες καὶ ὑπὸ τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι· ξηρᾶς γὰρ ὕλης, πρὸς δ' ἀσφάλτου τε καὶ πίττης, ἔτι δὲ καὶ θείου, διίπτατο τὸ πῦρ ἐπινοίας

τάχιον, καὶ τὰ πολλῷ καμάτῳ πεπονημένα τοῖς Ῥωμαίοις ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

⟨229⟩ ἔνθα καὶ ἀνήρ τις ἐξεφάνη Ἰουδαῖος λόγου 21
καὶ μνήμης ἄξιος. Σαμαίου μὲν παῖς ἦν, Ἐλεάζαρος ἐκαλεῖτο, Σαὰβ δὲ πατρὶς αὐτῷ τῆς Γαλιλαίας. ⟨230⟩ οὗτος ὑπερμεγέθη πέτραν ἀράμενος ἀφίησιν ἀπὸ τοῦ τείχους ἐπὶ τὴν ἑλέπολιν μετὰ τοσαύτης βίας ὥστ' ἐκφορφάξαι τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν δὴ καὶ κατασπάσας ἐκ μέσων αἴρεται τῶν πολεμίων, καὶ κατὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἀνέφερε. ⟨231⟩ σκοτὸς δὲ πᾶσι τοῖς ἐχθροῖς γενόμενος καὶ γυμνῷ τῷ κόρυμβι τὰς πληγὰς δεξάμενος πέντε μὲν διαπείρεται βέλεσι, ⟨232⟩ πρὸς οὐδὲν δὲ τούτων ἐπιστραφείς, ὅτε τὸ τεῖχος ἀνέβη καὶ περίοπτος πᾶσι τῆς εὐτολμίας ἔστη, τότ' ἰλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ κριοῦ κατέπεσεν. ⟨233⟩ ἄριστοι μετὰ τοῦτον ἐφάνησαν ἀδελφοὶ δύο Νετίρας καὶ Φίλιππος, ἀπὸ Ῥουκώμης, Γαλιλαῖοι καὶ αὐτοί. προπηδῶσι μὲν εἰς ἀπὸ τοῦ δεκάτου τάγματος, τοσούτῳ δὲ φοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις συνέπεσον ὡς διαρρῆξαί τε τὰς τάξεις καὶ τρέψασθαι καθ' οὓς ἐφορμήσειαν ἅπαντας.

⟨234⟩ μετὰ τούτους ὅ τε Ἰώσηπος καὶ τὸ λοιπὸν 22
πλῆθος ἀράμενοι πολὺ πῦρ τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος, οἱ λοιποὶ δὲ φθάσαντες καὶ τὰ ὄργανα καὶ πᾶσαν ὕλην κατέχωσαν. ⟨235⟩ περὶ δὲ δείλην ἀναστήσαντες προσῆγον τὸν κριὸν πάλιν, ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. ⟨236⟩ ἔνθα τις τῶν ἀμυνομένων ἀπ' αὐτοῦ βάλλει τὸν Βοσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδός,

καὶ τιτρώσκει μὲν ἐπιπολαίως, προσκλύσαντος τὸ
θὲν τοῦ διαστήματος, μέγιστον δὲ θόρυβον ἐνεπ
τοῖς Ῥωμαίοις· ⟨237⟩ πρὸς γὰρ τὸ αἷμα παραχθέ
τῶν πλησίον, φήμη διὰ παντὸς ἐπῆει τοῦ στρ
καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι μετ' ἀ
ξεως καὶ δέους ἐπὶ τὸν στρατηγὸν συνέθεον. ⟨
πρὸ δὲ πάντων Τίτος δείσας περὶ τῷ πατρὶ παρῆ
τὸ πλῆθος καὶ τῇ περὶ τὸν ἡγούμενον εὐνοίᾳ κα
τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. ῥᾷστα μέντοι τ
υἱὸν ὁ πατὴρ δεδιότα καὶ τὴν στρατιὰν ἔπαυσε
θορύβου. ⟨239⟩ τῶν γὰρ ἀλγηδόνων ἐπάνω γε
νος, καὶ πᾶσι τοῖς ἐπτοημένοις δι' αὐτὸν ὀφ
σπουδάσας, χαλεπώτερον Ἰουδαίοις ἐπήγειρε τὸν
μον· ἕκαστος γὰρ ὡς τιμωρὸς τοῦ στρατηγοῦ πρ
δυνεύειν ἤθελε, καὶ βοῇ παραχροτοῦντες ἀλλήλου
τὸ τεῖχος ὥρμων.

23 ⟨240⟩ οἱ δὲ περὶ τὸν Ἰώσηπον, καίπερ ἐπ'
λοις πίπτοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν π
βόλων, ὅμως οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ
καὶ σιδήρῳ καὶ πέτροις τοὺς ὑπὸ τὰ γέρρα τὸν
ἐπιβριθοντας ἔβαλλον. ⟨241⟩ καὶ ἤνυον μὲν
ἢ μικρόν, αὐτοὶ δ' ἀδιαλείπτως ἔπιπτον, ὑπὸ μη
πομένων καθορώμενοι. ⟨242⟩ αὐτοί τε γὰρ ὑπ
σφετέρας περιλαμπόμενοι φλογὸς σκοποὺς ἦσαν
πολεμίοις εὐσύνοπτος, ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶ
γάνων πόρρωθεν μὴ βλεπομένων δυσφύλακτον
βαλλόμενον. ⟨243⟩ ἥ τε γὰρ τῶν ὀξυβελῶν κα
ταπελτῶν βία πολλοὺς ἅμα διήλαυνε, καὶ τῶν ἀπ
μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος ἐπάλξεις τ
συρε καὶ γωνίας ἀπέθρυπτε πύργων. ⟨244⟩ ἀλ
μὲν γὰρ οὐκ ἦν οὕτως ἰσχυρὸν στῖφος ὃ μὴ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

τῶν ἵππων τριχῇ διέταξε κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν πεφραγμένους τοῖς ὅπλοις καὶ τοὺς κοντοὺς προῖσχοντας, ὡς, ὁπότε τὰς ἐπιβατηρίους βάλλοιεν μηχανάς, κατάρχοιντο τῆς εἰσόδου. κατόπιν δ' αὐτῶν ἔταξε τοῦ πεξοῦ τὸ ἀκμαιότατον, ⟨255⟩ τὸ δὲ λοιπὸν ἱππικὸν ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ πᾶσαν τὴν ὀρεινὴν πρὸς τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαλαθεῖν. ⟨256⟩ κατόπιν δὲ τούτων περιέστησε τοὺς τοξότας, ἔχειν κελεύσας ἕτοιμα τὰ βέλη πρὸς ἄφεσιν, ὁμοίως δὲ καὶ σφενδονήτας καὶ τοὺς ἐπὶ τῶν μηχανημάτων, ⟨257⟩ ἑτέρους δὲ κλίμακας ἀραμένους προσφέρειν ἐπάνω τοῖς ἀκεραίοις τείχεσιν, ἵν' οἱ μὲν τούτους κωλύειν πειρώμενοι καταλίποιεν τὴν ἐπὶ τοῖς καταρριφθεῖσι φυλακήν, οἱ λοιποὶ δ' ὑπ' ἀθρόων βιαζόμενοι τῶν βελῶν εἴξωσι τῆς εἰσόδου.

⟨258⟩ Ἰώσηπος δὲ συνεὶς τὴν ἐπίνοιαν ἐπὶ μὲν τοῦ μένοντος τείχους σὺν τοῖς κεκμηκόσιν ἵστησι τοὺς γηραιοὺς ὡς μηδὲν ταύτῃ βλαβησομένους, κατὰ δὲ τὰ παρερρωγότα τοῦ τείχους τοὺς δυνατωτάτους καὶ πρὸ πάντων ἀν' ἕξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς εἰς τὸ προκινδυνεύειν ἐκληρώσατο· ⟨259⟩ ἐκέλευσέ τε πρὸς μὲν τὸν ἀλαλαγμὸν τῶν ταγμάτων ἀποφράξαι τὰς ἐκκάς, ὡς ἂν μὴ καταπλαγεῖεν, πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συνοκλάσαντας καλύπτεσθαι καθύπερθεν τοῖς θυρεοῖς, ὑποχωρῆσαί τε πρὸς ὀλίγον ἕως ἂν τὰς φαρέτρας κενώσωσιν οἱ τοξόται· ⟨260⟩ βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς αὐτοὺς προπηδᾶν, καὶ διὰ τῶν ἰδίων ὀργάνων ἁπαντᾶν τοῖς πολεμίοις, ἀγωνίζεσθαι θ' ἕκαστον ὡς οὐχ ὑπὲρ σωθησομένης ἀλλ' ὑπὲρ ἀπωλωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον, ⟨261⟩ λαμβάνειν τε πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας

καὶ τέκνα καὶ γυναῖκας ἀναιρεθησομένας ὑπὸ τῶν ἐφορῶν ὅσον οὔπω, καὶ τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας ἐναφεῖναι τοῖς δράσουσιν ὠτάς.

〈262〉 ἔταξε μὲν οὖν οὕτως ἑκάτερον· τὸ δ' ἀργὸν 26
ὐπὸ τῆς πόλεως πλῆθος, γύναια καὶ παῖδες, ὡς ἐθεά-
ατο τριπλῇ μὲν φάλαγγι τὴν πόλιν ἐξωσμένην (οὐ-
δὲν γὰρ εἰς τὴν μάχην μετακεκίνητο τῶν πάλαι φυλα-
κῶν), πρὸς δὲ τοῖς βεβλημένοις τείχεσι τοὺς πολεμίους
ἐφήρεις, καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην
ὅπλοις, τά τε βέλη τοῖς τοξόταις ἐπανέχοντα τῶν Ἀρά-
βων, ὕστατόν τινα κωκυτὸν ἀλώσεως συνήιχησαν, ὡς
οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν ἀλλ' ἤδη παρόντων.
〈263〉 ὁ δὲ Ἰώσηπος τὰ μὲν γύναια, ὡς μὴ θηλύνοιεν
ἄκρῳ τὰς ὁρμὰς τῶν σφετέρων, καταικλείει ταῖς οἰκί-
αις, μετ' ἀπειλῆς ἡσυχάζειν κελεύσας· αὐτὸς δὲ πρὸ
τῶν ἐρειφθέντων, ἧ ἔλαχε, παρῆει. 〈264〉 τοῖς μὲν
ἄλλοις καθ' ἕτερα προσφέρουσι τὰς κλίμακας οὐ προσεῖ-
χεν, ἀπεκαραδόκει δὲ τὴν ὁρμὴν τῶν βελῶν.

〈265〉 ὁμοῦ δ' οἵ τε σαλπικταὶ τῶν ταγμάτων 27
πάντων συνήιχησαν καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιά·
καὶ πάντοθεν ἀφιεμένων ἀπὸ συνθήματος τῶν βελῶν
ὁ φὼς ὑπετέμνετο. 〈266〉 μεμνημένοι γε μὴν τῶν
οὖ Ἰωσήπου προσταγμάτων οἱ σὺν αὐτῷ τάς τ' ἀκοὰς
ρὸς τὴν βοὴν καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφρά-
αντο, 〈267〉 καὶ βαλόντων τὰς μηχανὰς ἐπεξέδραμον
ἰ' αὐτῶν, πρὶν ἐπιβῆναι τοὺς βαλόντας. 〈268〉 συμ-
λεκόμενοί γε μὴν τοῖς ἀνιοῦσι παντοῖα καὶ χειρῶν
γα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς
χάτας συμφορὰς μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκιν-
ύνῳ σφᾶς κατὰ σφᾶς ἀνδριζομένων· 〈269〉 ὅστ' οὐ

[illegible] ἀπερρήγνυντο τῶν Ῥωμαίων πρὶν ἢ πεσεῖν
[illegible]. ⟨270⟩ ὡς δ' οἱ μὲν ἔκαμνον διηνεκῶς
[illegible] καὶ τοὺς προμάχους ἀμείβειν οὐκ ἔχοντες,
[illegible] δὲ τῶν Ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο
[illegible] ταχέως ἀντὶ τῶν ἀποβιασθέντων ἐπέβαινον ἕτεροι
[illegible] ἀμυνάμενοί τ' ἀλλήλοις, καὶ πλευρὰν μὲν ἑνώ-
[illegible] τοῖς δὲ θυρεοῖς καθύπερθεν φραξάμενοι, στῖφος
[illegible] ἐγένοντο, καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ
[illegible] τοὺς Ἰουδαίους ἀνωθοῦντες ἤδη τοῦ τείχους
[illegible].

⟨271⟩ ὁ δὲ Ἰώσηπος ἐν ταῖς ἀμηχανίαις σύμβου-
λον λαβὼν τὴν ἀνάγκην (ἡ δ' ἐστὶ δεινὴ πρὸς ἐπίνοιαν
ἄνευ αὐτὴν ἀπόγνωσις ἐρεθίζῃ), ξέον ἔλαιον ἐκέλευε
καταχεῖν τῶν συνησπικότων. ⟨272⟩ οἱ δ', ὡς πα-
σκευασμένον ἔχοντες, μετὰ τάχους πολλοὶ καὶ πολ-
πάντοθεν τῶν Ῥωμαίων κατέχεον, συνεπαφιέντες κε-
κὰ ἀγγεῖα βραττόμενα τῇ θέρμῃ. ⟨273⟩ τοῦτο καὶ
μένων τῶν Ῥωμαίων διεσκέδασε τὴν τάξιν, καὶ με-
δεινῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους. ⟨274⟩
φῶτα μὲν γὰρ τοὔλαιον ἀπὸ κόρρης μέχρι ποδῶν ὑπε-
τὰς πανοπλίας διέρρει τοῦ σώματος ὅλου, καὶ τῇ
σάρκα φλογὸς οὐδὲν ἔλαττον ἐπεβόσκετο, θερμαινόμε-
νόν τε φύσει ταχέως καὶ ψυχόμενον βραδέως διὰ τὴ
πιότητα. ⟨275⟩ τοῖς δὲ θώραξι καὶ τοῖς κράνεσιν ἐν
δεδεμένων ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν· πηδῶντε
δὲ καὶ συνειλούμενοι ταῖς ἀλγηδόσιν ἀπὸ τῶν γεφυ-
ρωμάτων ἔπιπτον. οἱ δὲ τραπέντες εἰς τοὺς σφετέ-
ρους πρόσω βιαζομένους εὐχείρωτοι τοῖς κατόπιν τυ-
πρώσκουσιν ἦσαν.

[illegible] σεν ὑφεστῶτα τοὺς ἐπιφορίους (οὐ γὰρ ἐπεξεσθ
[illegible] φονευομένων ἔχειν τοσούτων καθ' αὑτοῖς), καὶ με
[illegible] ἐπιθέσθαι προειδότων οὐχ ὑπέμενον. ⟨336⟩
[illegible] φίλια, μᾶλλον καὶ Ἰουδαίων ἐσεβ
[illegible] καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι κ

τοὺ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω. ⟨537⟩ κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον, ἐπέτρεψεν ἐξιέναι διὰ μόνης τῆς ἐπὶ Τιβεριάδα φερούσης ὁδοῦ. ⟨538⟩ τῶν δὲ ταχέως πιστευσάντων οἷς ἤθελον, καὶ μετὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων ἧπερ ἐπετράπη χωρούντων, διαλαμβάνουσι μὲν οἱ Ῥωμαῖοι τὴν μέχρι Τιβεριάδος πᾶσαν, ὡς μή τις ἀποκλίνειε, συγκλείουσι δ' αὐτοὺς εἰς τὴν πόλιν· ⟨539⟩ καὶ Ὀὐεσπασιανὸς ἐπελθὼν ἵστησι πάντας ἐν τῷ σταδίῳ, καὶ γηραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ χιλίοις ὄντας ἀνελεῖν ἐκέλευσεν, ⟨540⟩ τῶν δὲ νέων ἐπιλέξας τοὺς ἰσχυροτάτους ἑξακισχιλίους ἔπεμψεν εἰς τὸν ἰσθμὸν Νέρωνι, καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους καὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν Ἀγρίππᾳ χαρισθέντων· ⟨541⟩ τοὺς γὰρ ἐκ τῆς τούτου βασιλείας ἐπέτρεψεν αὐτῷ ποιεῖν ὅ τι βούλοιτο. πιπράσκει δὲ καὶ τούτους ὁ βασιλεύς. ⟨542⟩ ὁ μέν γ' ἄλλος ὄχλος Τραχωνῖται καὶ Γαυλανῖται καὶ Ἱππηνοὶ καὶ ἐκ τῆς Γαδαρίτιδος τὸ πλέον ἦσαν, στασιασταὶ καὶ φυγάδες καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προυξένει. ἑάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

1 ⟨1⟩ *Ὅσοι δὲ μετὰ τὴν τῶν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχαίαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων.* ⟨2⟩ *συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχαιῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δ' Ἀγρίππα λήξεως αὕτη τ' ἦν καὶ Σωγάνη καὶ Σελεύκεια, καὶ αἳ μὲν ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι (τοῦ γὰρ ἄνω καλουμένου Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δ' ἡ Γάμαλα), Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ.* ⟨3⟩ *ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια. διατείνει δ' αὐτῆς τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τ' ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προπέμπουσι τῷ μεγάλῳ.* ⟨4⟩ *τοὺς μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν ὑπὸ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο, Γάμαλα δ' οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων.* ⟨5⟩ *τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ καταπίνων ὄρους μέσον ἐπαίρει τένοντα· μηκύνεται δ' ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τραχὺ τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων.* ⟨6⟩ *κατὰ πλευρὰ μὲν δὴ καὶ πρό-*

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ἦν καὶ θόρυβος ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. ⟨494⟩ κατακούσας δὲ τῆς ταραχῆς Τίτος (οὐ γὰρ ἦν ἄπωθεν τοῦ τείχους) 'οὗτος ἦν ὁ καιρός' ἐκβοᾷ, καὶ 'τί, συστρατιῶται, μέλλομεν, ἐκδιδόντος ἡμῖν Ἰουδαίους θεοῦ; δέξασθε τὴν νίκην. οὐκ ἀκούετε βοῆς; ⟨495⟩ στασιάζουσιν οἱ τὰς χεῖρας ἡμῶν διαφυγόντες. ἔχομεν τὴν πόλιν, ἐὰν ταχύνωμεν. δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λήματος· οὐδὲν γὰρ τῶν μεγάλων φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. ⟨496⟩ φθάνειν δ' οὐ μόνον χρὴ τὴν τῶν πολεμίων δμόνοιαν, οὗς ἀνάγκη διαλλάξει ταχέως, ἀλλὰ καὶ τὴν τῶν ἡμετέρων βοήθειαν, ἵνα πρὸς τῷ νικῆσαι τοσοῦτο πλῆθος ὀλίγοι καὶ τὴν πόλιν ἕλωμεν μόνοι.'

⟨497⟩ ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ καθηγεῖται πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. ⟨498⟩ δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι μὲν ἢ διακωλύειν οὐδεὶς ὑπέμενε, λιπόντες δὲ τὴν φρουρὰν οἱ μὲν περὶ τὸν Ἰησοῦν διὰ τῆς χώρας ἔφευγον, ⟨499⟩ οἱ δ' ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπιπτον. ἐκτείνοντο δ' οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσι προσπίπτειν πειρώμενοι. ⟨500⟩ πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν, ἀντιτattομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχωρίων (κατὰ γὰρ ἐλπίδα δεξιᾶς καὶ τὸ συνειδὸς τοῦ μὴ βεβουλεῦσθαι πολεμεῖν μάχης ἀπετρέποντο), ⟨501⟩ μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελών, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους ἀνεπαύσατο φόνου. ⟨502⟩ καὶ οἱ μὲν εἰς τὴν λίμνην καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἁλωκυῖαν εἶδον, ὡς

πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν· ⟨503⟩ Τίτος 6
δ' ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ πατρὶ
τοὔργον. ⟨504⟩ ὃ δ', ὡς εἰκός, ὑπερησθεὶς τῇ τε τοῦ
παιδὸς ἀρετῇ καὶ τῷ κατορθώματι (μεγίστη γὰρ ἐδό-
κει καθηρῆσθαι μοῖρα τοῦ πολέμου), τότε μὲν ἐλθὼν
περισχόντας τὴν πόλιν φρουρεῖν ἐκέλευσεν, ὡς μὴ
διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκώλυσεν, ⟨505⟩
τῇ δ' ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς σχεδίας ἐκέ-
λευσε πήσσειν ἐπὶ τοὺς καταπεφευγότας. αἱ δ' ἐγί-
γνοντο ταχέως ἀφθονίᾳ θ' ὕλης καὶ πλήθει τεχνιτῶν.

⟨506⟩ ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσε- 7
χοῦς χώρας καλεῖται, σταδίων δ' εὖρος οὖσα τετταρά-
κοντα, καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυ-
κεῖά θ' ὅμως ἐστὶ καὶ ποτιμωτάτη· ⟨507⟩ καὶ γὰρ
τῆς ἑλώδους παχύτητος ἔχει τὸ νᾶμα λεπτότερον, κα-
θαρά τ' ἐστὶ πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα καὶ ψάμ-
μῳ, πρὸς δ' εὔκρατος ἀρύσασθαι, ποταμοῦ μὲν ἧ
κρήνης προσηνεστέρα, ψυχροτέρα δ' ἢ κατὰ λίμνης
διάχυσιν ἀεὶ μένουσα. ⟨508⟩ καὶ τὸ μὲν ὕδωρ οὐκ
ἀκράδει χιόνος ἐξαιθριασθέν, ὅπερ θέρους νυκτὸς ποιεῖν
ἔθος τοῖς ἐπιχωρίοις, γένη δ' ἰχθύων ἐν αὐτῇ διά-
φορα πρὸς τοὺς ἀλλαχοῦ γεῦσίν τε καὶ ἰδέαν. ⟨509⟩
μέση δ' ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. καὶ δοκεῖ μὲν
Ἰορδάνου πηγὴ τὸ Πάνειον, φέρεται δ' ὑπὸ γῆν εἰς
τοῦτο κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης. ⟨510⟩ ἡ δ'
ἔστιν ἀνιόντων εἰς τὴν Τραχωνῖτιν ἀπὸ σταδίων ἑκα-
τὸν εἴκοσι Καισαρείας, τῆς ὁδοῦ κατὰ τὸ δεξιὸν μέρος
μάλιστα ἄπωθεν. ⟨511⟩ ἐκ μὲν οὖν τῆς περιφερείας ἐτύ-
ωος Φιάλη καλεῖται τροχοειδὴς οὖσα λίμνη, μένει δ'
ἐπὶ χείλους αὐτῆς ἀεὶ τὸ ὕδωρ, μήθ' ὑπονοστοῦν μήθ'
ὑπερχεόμενον. ⟨512⟩ ἀγνοούμενος δὲ τέως δ' Ἰορδάνης

ἐντεῦθεν ἄρχεσθαι διὰ τοῦ τετραρχήσαντος Τραχωνιτῶν ἠλέγχθη Φιλίππου· ⟨513⟩ βαλὼν γὰρ οὗτος εἰς τὴν Φιάλην ἄχυρα κατὰ τὸ Πάνειον, ἔνθεν ἐδόκουν οἱ παλαιοὶ γεννᾶσθαι τὸν ποταμόν, εὗρεν ἀνενεχθέντα. ⟨514⟩ τοῦ γε μὴν Πανείου τὸ φυσικὸν κάλλος ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας, τῷ Ἀγρίππα πλούτῳ κεκοσμημένον. ⟨515⟩ ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ Ἰορδάνης ἀπὸ τοῦδε τοῦ ἄντρου κόπτει μὲν τὰ τῆς Σεμεχωνίτιδος λίμνης ἕλη τε καὶ τέλματα, διαμείψας δ' ἑτέρους ἑκατὸν εἴκοσι σταδίους μετὰ πόλιν Ἰουλιάδα διεκπαίει τὴν Γεννησὰρ μέσην, ἔπειτα πολλὴν ἀναμετρούμενος ἐρημίαν εἰς τὴν Ἀσφαλτῖτιν ἔξεισι λίμνην.

8 ⟨516⟩ παρατείνει δὲ τὴν Γεννησὰρ δμώνυμος χώρα, θαυμαστὴ φύσιν τε καὶ κάλλος· οὔτε γὰρ αὐτή τι φυτὸν ἀρνεῖται διὰ τὴν πιότητα, καὶ πᾶν πεφυτεύκασιν οἱ νεμόμενοι. τοῦ δ' ἀέρος τὸ εὔκρατον ἁρμόττει καὶ τοῖς διαφόροις· ⟨517⟩ καρύαι μέν γε, φυτῶν τὸ χειμεριώτατον, ἄπειροι τεθήλασιν, ἔνθα φοίνικες, οἳ καύματι τρέφονται, συκαῖ τε καὶ ἐλαῖαι πλησίον τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀποδέδεικται. ⟨518⟩ φιλοτιμίαν ἄν τις εἴποι τῆς φύσεως, βιασαμένης εἰς ἓν συναγαγεῖν τὰ μάχιμα, καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν, ἑκάστης ὥσπερ ἀντιποιουμένης τοῦ χωρίου· καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν τὰς διαφόρους ὀπώρας, ἀλλὰ καὶ διαφυλάττει. ⟨519⟩ τὰ μέν γε βασιλικώτατα, σταφυλήν τε καὶ σῦκον, δέκα μησὶν ἀδιαλείπτως χορηγεῖ, τοὺς δὲ λοιποὺς καρποὺς δι' ἔτους ὅλου περιγηράσκοντας αὐτοῖς. πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ καὶ πηγῇ διάρδεται γονιμωτάτῃ· Καφαρναοὺμ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι. ⟨520⟩ ταύτην φλέβα τοῦ Νείλου

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ποί, κεκυκλωμένων αὐτοῖς τῶν ἁλιάδων. ⟨529⟩ ἐκ[illegible]
χλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τ[illegible]
λίμνῃ, πολλοὺς δ' ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθε[illegible]
ρον ἐπὶ γῆς. ἦν δ' ἰδεῖν κεκραμένην μὲν αἵμα[illegible]
πεπληρωμένην δὲ νεκρῶν τὴν λίμνην ἅπασαν· διεσῴ
γὰρ οὐδείς. ⟨530⟩ δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις πε[illegible]ρι-
εἶχε τὴν χώραν ὀσμή τε καὶ ὄψις· οἱ μὲν γὰρ αἰγια[illegible]οὶ
ναυαγίων ἅμα καὶ διοιδούντων ἔγεμον σωμάτων, [illegible]ἐκ-
καιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα [illegible]με-
φθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσ[illegible]θαι
τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν.
⟨531⟩ τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος, ἐκπέ-
θανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν
ἑξακισχίλιοι πεντακόσιοι.

⟨532⟩ Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζει
μὲν ἐπὶ βήματος ἐν Ταριχαίαις, διακρίνων δ' ἀπὸ τῶν
ἐπιχωρίων τὸν ἔπηλυν λεών (κατάρξαι γὰρ οὗτος ἐκεί-
κει πολέμου), μετὰ τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους
σώζειν ἐσκέπτετο. ⟨533⟩ φαμένων δὲ πάντων βλαβε-
ρὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν (οὐ γὰρ ἠρεμήσειν
ἀπολυθέντας ἀνθρώπους ἐστερημένους μὲν τῶν πατρί-
δων, βιάξεσθαι δὲ καὶ πρὸς οὓς ἂν καταφύγωσι πολε-
μεῖν δυναμένους), ⟨534⟩ Οὐεσπασιανὸς ὡς μὲν οὔτ'
ἄξιοι σωτηρίας εἶεν καὶ διαφεύξονται κατὰ τῶν ἀφέν-
των ἐγίγνωσκε, τὸν δὲ τρόπον τῆς ἀναιρέσεως αὐτῶν
διενοεῖτο· ⟨535⟩ καὶ γὰρ αὐτόθι κτείνων ἐκπολεμῶ-
σειν ὑφεωρᾶτο τοὺς ἐπιχωρίους (οὐ γὰρ ἀνέξεσθαι
φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς), καὶ μετὰ
πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. ⟨536⟩
ἐξενίκων δ' οἱ φίλοι, μηδὲν κατὰ Ἰουδαίων ἀσεβὲς
εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ

38〉 τῶν δὲ ταχέως πιστευσάντων οἷς ἤθελον, καὶ
τὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων ἦπερ ἐπε-
άπη χωρούντων, διαλαμβάνουσι μὲν οἱ Ῥωμαῖοι τὴν
χρι Τιβεριάδος πᾶσαν, ὡς μή τις ἀποκλίνειε, συγ-
είουσι δ' αὐτοὺς εἰς τὴν πόλιν· 〈539〉 καὶ Οὐεσπα-
ανὸς ἐπελθὼν ἵστησι πάντας ἐν τῷ σταδίῳ, καὶ γη-
ιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ χιλίοις
τας ἀνελεῖν ἐκέλευσεν, 〈540〉 τῶν δὲ νέων ἐπιλέξας
ὺς ἰσχυροτάτους ἑξακισχιλίους ἔπεμψεν εἰς τὸν ἰσθ-
ν Νέρωνι, καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους
ὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν Ἀγρίππᾳ
ρισθέντων· 〈541〉 τοὺς γὰρ ἐκ τῆς τούτου βασι-
είας ἐπέτρεψεν αὐτῷ ποιεῖν ὅ τι βούλοιτο. πιπράσκει
ὲ καὶ τούτους ὁ βασιλεύς. 〈542〉 ὁ μέν γ' ἄλλος
λος Τραχωνῖται καὶ Γαυλανῖται καὶ Ἱππηνοὶ καὶ ἐκ
ῆς Γαδαρίτιδος τὸ πλέον ἦσαν, στασιασταὶ καὶ φυγά-
ες καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον πρου-
ένει. ἑάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

〈1〉 Ὅσοι δὲ μετὰ τὴν τῶν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχαίαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων. 〈2〉 συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχαιῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δ' Ἀγρίππα λήξεως αὕτη τ' ἦν καὶ Σωγάνη καὶ Σελεύκεια, καὶ αἳ μὲν ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι (τοῦ γὰρ ἄνω καλουμένου Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δ' ἡ Γάμαλα), Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. 〈3〉 ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια. διατείνει δ' αὐτῆς τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τ' ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προπέμπουσι τῷ μεγάλῳ. 〈4〉 τοὺς μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν ὑπὸ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο, Γάμαλα δ' οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων. 〈5〉 τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ καταπίνων ὄρους μέσον ἐπαίρει τένοντα· μηκύνεται δ' ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τραχὺ τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. 〈6〉 κατὰ πλευρὰ μὲν δὴ καὶ πρό-

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

κατ' ἀνατολὰς αὐτοῦ μέρος, ἧπερ δ ἀνωτάτω τῆς πόλεως πύργος ἦν, ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα· καὶ τὸ πέμπτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς διώρυγας δ' ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον. ⟨14⟩ κἀν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασιλέα, καὶ περὶ παραδόσεως τοῖς ἑφεστῶσι πειρώμενον διαλέγεσθαι, βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. ⟨15⟩ καὶ ὁ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥωμαίους δ' ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ βασιλέως καὶ περὶ σφῶν αὐτῶν δέος· ⟨16⟩ οὐ γὰρ ἀπολείψειν ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

4 ⟨17⟩ συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει χειρῶν καὶ τῶν πραττομένων ἔθει, προσῆγον τὰς μηχανάς. ⟨18⟩ οἱ δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον (οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι) καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι· ⟨19⟩ παρακροτήσαντες δ' ὅμως ἐξήγαγον ἐπὶ τὸ τεῖχος. καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν. ⟨20⟩ καὶ προσαγαγόντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς διασείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ἐρειφθέντων εἰσχεόμενοι μετὰ πολλοῦ σαλπίγγων ἤχου καὶ κτύπου τῶν ὅπλων αὐτοί τ' ἐπαλαλάξοντες συνερρύησαν τοῖς κατὰ τὴν πόλιν. ⟨21⟩ οἱ δὲ τέως μὲν

κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι, προσωτέρω χωρεῖν ἐκώλυον καὶ καρτερῶς τοὺς Ῥωμαίους ἀνεῖργον· ⟨22⟩ βιαζόμενοι δ' ὑπὸ πολλῶν καὶ πάντοθεν τρέπονται πρὸς τὰ ὑψηλὰ τῆς πόλεως καὶ προσκειμένοις τοῖς πολεμίοις ἐξ ὑποστροφῆς ἐπιπεσόντες συνεώθουν εἰς τὸ κάταντες, καὶ τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους ἀνήρουν. ⟨23⟩ οἳ δὲ μήτε τοὺς κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι μήτε διεκπαίειν τῶν σφετέρων πρόσω βιαζομένων ἐπὶ τὰς οἰκίας τῶν πολεμίων (πρόσγειοι γὰρ ἦσαν) ἀνέφευγον. ⟨24⟩ αἳ δὲ ταχέως κατηρείποντο πληρούμεναι καὶ τὸ βάρος μὴ στέγουσαι· κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτὴν πεσοῦσα, καὶ πάλιν ἐκείναι τὰς ὑπ' αὐτάς. ⟨25⟩ τοῦτο πλείστους διέφθειρε τῶν Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας, καίτοι συνιζανούσας δρῶντες, ἐπεπήδων ταῖς στέγαις. καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς ἐρειπίοις, πολλοὶ δ' ὑποφεύγοντες μέρη τοῦ σώματος κατελαμβάνοντο, ⟨26⟩ πλείστους δ' ὁ κονιορτὸς ἄγχων ἀνῄρει. συνεργίαν θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον, καὶ τῆς κατὰ σφᾶς ἀμελοῦντες βλάβης ἐπέκειντο, πρός τε τὰ τέγη τοὺς πολεμίους ἀνωθοῦντες καὶ τοὺς κατολισθάνοντας ἐν ὀξέσι τοῖς στενωποῖς καὶ ἀεὶ τοὺς πίπτοντας ὕπερθεν βάλλοντες ἔκτεινον. ⟨27⟩ καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρασπῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη κατὰ τῶν δυσθανατώντων ἐχρῶντο. ⟨28⟩ πολλοὶ δ' ἀπὸ πιπτόντων ἤδη τῶν δωμάτων σφᾶς αὐτοὺς βάλλοντες ἔθνησκον. ⟨29⟩ ἦν δ' οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾴδιος· κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ μηδ' ἀλλήλους ἐπιγιγνώσκοντες ἀνειλοῦντο καὶ περὶ σφᾶς ἔπιπτον.

[illegible] ἐφιέμενοι τὰς ἐξόδους [illegible] ἐκ τῆς πόλεως (31) διεσπασμένος δ' ἀεὶ προβιβάσων τοὺς συνταραχθέντας (δεινόν γάρ τι πάθος αὐτῶν εἰκῆ συνεφορμήσαντα ἄφθονα περὶ τῷ στρατῷ τὴν πόλιν ἐ, ἐν λιμῷ τοσῷ καὶ τοσῷδε ἐπιφαύλους γενό- 5
μενος λιτοδίαιτος καὶ μικρὸν ἀναστάτου τῆς πόλεως προειδώς, ἅτε μᾶλλον ἀμυντικὸς ἐφιστάμενος τοῖς κινδύνοις ἢ ἐπιβουλεύων ἑτέροις· (32) οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, πρεσβεύσας πρὸς Μουκιανὸν εἰς Σηρίαν ἀποσταλείς. (33) τροπὴν μὲν οὖν οὔτ' ἐπ- 10
ἐφιππίδιος οὔτε πρόπυλον ἔφθασεν, μηχάνας δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθεος γενόμενος, (34) συνεμβιβάζει μὲν τοὺς ἅμ' αὐτῷ τά τε δώματα καὶ τὰς πυροπλίας, ἐνυφίστατο δὲ καὶ καμινῶν ἐπιφερόντων τὸν πόλεμον, καὶ οὔτ' ἀν- 15
δρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δωμάτων τὸ περάστημα τῆς φυγῆς συννοήσαντες οἱ πολέμιοι τὰς ὁρμὰς ἐνέδοσαν. (35) ἀτονώτερον δὲ προσχεομένων αὐτοὺς ἐπὶ πόδα ἀνεχώρει, νῶτα μὴ δειχνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. (36) πλεῖστοι μὲν 20
οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης Αἰβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ παντὸς καὶ πρότερον γενναιότατος φανεὶς καὶ πλεῖστα κακὰ Ἰουδαίους ἐργασάμενος. (37) ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν 25
δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ κατέδυ μὲν εἴς τινος οἰκίαν, (38) τῶν δ' ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπκατὰ τῶν Ῥωμαίων ἢ περὶ σφῶν ὁ δῆμος ἐβουακροασάμενος (ἦν δ' αὐτός τε καὶ οἱ σὺν αὐνύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας ω
ὁτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν παίσματι. ⟨47⟩ τὴν δ' ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. ⟨48⟩ πειράσομαι δ' ἐγώ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν θ' ὑμῶν εἰς τοὺς πολεμίους καὶ τελευταῖος ἀποχωρεῖν.'

7 ⟨49⟩ ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανε, τοῖς δὲ Γαμαλεῦσι πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη παραλόγως τε συμβάντι καὶ μεγάλως, ⟨50⟩ λογιζόμενοι δ' ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδα, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες (ἤδη γὰρ ἐπέλιπε τἀπιτήδεια), δεινῶς ἠθύμουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. ⟨51⟩ οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ παραῤῥηχθέντα τοῦ τείχους οἱ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλαττον οἱ λοιποί. ⟨52⟩ τῶν δὲ Ῥωμαίων ἐπιχωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ἧπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ὑπονόμων. ⟨53⟩ ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐνδείᾳ διεφθείροντο. πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

8 ⟨54⟩ καὶ οἳ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν, Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· ⟨55⟩ οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλῖμα, πεδίον δ' ἐστὶν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. ⟨56⟩ ἤγειρε

δὲ τοσοῦτον ὄντα τὸν περίβολον ὁ Ἰώσηπος ἐν τεττα-
ράκονθ' ἡμέραις, τῇ τ' ἄλλῃ χορηγούμενος ὕλῃ κά-
τωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις μύνον ἦν
ὄμβριον. ⟨57⟩ πολλοῦ οὖν πλήθους ἐπὶ τούτου συν-
3 ειλεγμένου, Οὐεσπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξα-
κοσίοις πέμπει. ⟨58⟩ τούτῳ τὸ μὲν προσβαίνειν ἀμή-
χανον ἦν, ἐλπίδι δὲ δεξιῶν καὶ παρακλήσεως πρὸς
εἰρήνην τοὺς πολλοὺς προυκαλεῖτο. ⟨59⟩ κατῆσαν δ'
ἀντεπιβουλεύοντες· ὅ τε γὰρ Πλάκιδος ὡμίλει πρᾳό-
10 τερον, σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ λαβεῖν, κἀκεῖ-
νοι κατῆσαν ὡς πειθόμενοι δῆθεν, ἵν' ἀφυλάκτῳ
προσπέσωσιν. ⟨60⟩ ἐνίκα μέντοι τὸ Πλακίδου πανο-
ῦργον· ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης φυγὴν
ὑποκρίνεται, καὶ διώκοντας ἑλκύσας ἐπὶ πολὺ τοῦ πε-
13 δίου τοὺς ἱππεῖς ἐπιστρέφει, τρεψάμενός τε πλείστους
μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμε-
νος εἴργει τῆς ἀνόδου. ⟨61⟩ καὶ οἳ μὲν τὸ Ἰταβύ-
ριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων ἔφευγον, οἱ δ'
ἐπιχώριοι πίστεις λαβόντες (ἐπιλελοίπει δ' αὐτοὺς
20 τὸ ὕδωρ) τό τ' ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέ-
δοσαν.

⟨62⟩ τῶν δ' ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι 9
μὲν φεύγοντες διελάνθανον. ⟨63⟩ οἱ δ' ἀσθενεῖς
διεφθείροντο λιμῷ, τὸ μάχιμον δ' ἀντεῖχε τῇ πολιορ-
25 κίᾳ, μέχρι, δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου,
τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος
στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες τὸν
προύχοντα κατὰ τούτους πύργον ὑπορύττουσιν ἡσυχῇ.
⟨64⟩ τοῖς δ' ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προσιόντων
30 αἴσθησις (νὺξ γὰρ ἦν) οὔτε προσελθόντων ἐγένετο.
οἱ δὲ στρατιῶται φειδόμενοι τοῦ ψόφου πέντε τοὺς

ποί, κεκυκλωμένων αὐτοῖς τῶν ἁλιάδων. ⟨529⟩ ἐκ
κλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τ
λίμνῃ, πολλοὺς δ' ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθ
ρον ἐπὶ γῆς. ἦν δ' ἰδεῖν κεκραμένην μὲν αἵμα
πεπληρωμένην δὲ νεκρῶν τὴν λίμνην ἅπασαν· διεσώ
γὰρ οὐδείς. ⟨530⟩ δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις πε
εἶχε τὴν χώραν ὀσμή τε καὶ ὄψις· οἱ μὲν γὰρ αἰγιαλ
ναυαγίων ἅμα καὶ διοιδούντων ἔγεμον σωμάτων, ἐκ
καιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα διέ-
φθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσθαι
τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν.
⟨531⟩ τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος, ἀπέ-
θανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν
ἑξακισχίλιοι πεντακόσιοι.

⟨532⟩ Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζε
μὲν ἐπὶ βήματος ἐν Ταριχαίαις, διακρίνων δ' ἀπὸ τῶν
ἐπιχωρίων τὸν ἔπηλυν λεών (κατάρξαι γὰρ οὗτος ἐδό
κει πολέμου), μετὰ τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους
σώζειν ἐσκέπτετο. ⟨533⟩ φαμένων δὲ πάντων βλαφε-
ρὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν (οὐ γὰρ ἠρεμήσειν
ἀπολυθέντας ἀνθρώπους ἐστερημένους μὲν τῶν παρ
δων, βιάζεσθαι δὲ καὶ πρὸς οὓς ἂν καταφύγωσι πολε
μεῖν δυναμένους), ⟨534⟩ Οὐεσπασιανὸς ὡς μὲν οὔτ
ἄξιοι σωτηρίας εἶεν καὶ διαφεύξονται κατὰ τῶν ἀφέν
των ἐγίγνωσκε, τὸν δὲ τρόπον τῆς ἀναιρέσεως αὐτῶν
διενοεῖτο· ⟨535⟩ καὶ γὰρ αὐτόθι κτείνων ἐκπολεμώ
σειν ὑφεωρᾶτο τοὺς ἐπιχωρίους (οὐ γὰρ ἀνέξεσθαι
φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς), καὶ μη
πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. ⟨536⟩
ξενίκων δ' οἱ φίλοι, μηδὲν κατὰ Ἰουδαίων ἀσεβ
εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι κα

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

1 ⟨1⟩ Ὅσοι δὲ μετὰ τὴν τῶν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχαίαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων. ⟨2⟩ συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχαιῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δ' Ἀγρίππα λήξεως αὕτη τ' ἦν καὶ Σωγάνη καὶ Σελεύκεια, καὶ αἱ μὲν ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι (τοῦ γὰρ ἄνω καλουμένου Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δ' ἡ Γάμαλα), Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. ⟨3⟩ ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια. διατείνει δ' αὐτῆς τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τ' ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχοντος, αἱ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προπέμπουσι τῷ μεγάλῳ. ⟨4⟩ τοὺς μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν ὑπὸ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο, Γάμαλα δ' οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων. ⟨5⟩ τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ καταπίνων ὄρους μέσον ἐπαίρει τένοντα· μηκύνεται δ' ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τραχὺ τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. ⟨6⟩ κατὰ πλευρὰ μὲν δὴ καὶ πρό-

σωπον εἰς φάραγγας ἀβάτους περισχίζεται· τὸ κατ' οὐρὰν δ' ὀλίγον ἀναφεύγει τῆς δυσχωρίας, ὅθεν ἁπήρτηται τοῦ ὄρους, καὶ τοῦτο ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. ⟨7⟩ πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι πεπύκνωντο δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, χρημνιζομένῃ θ' ἡ πόλις ἐοικυῖα κατέτρεχεν εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος. ⟨8⟩ καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν, ὁ νότιος δ' αὐτῆς ὄχθος εἰς ἄπειρον ὕψος ἀνατείνων ἄκρα τῆς πόλεως ἦν, ἀτείχιστος δ' ὑπὲρ αὐτὴν χρημνὸς εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα. πηγὴ δ' ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν.

⟨9⟩ οὕτως οὖσαν φύσει δύσμαχον τὴν πόλιν τει- 2
χίζων ὁ Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διώρυξιν. ⟨10⟩ οἱ δ' ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν Ἰωταπάτην ἦσαν, πολὺ δ' ἐλάττους οἱ μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες οὐδὲ πλείονας ὑπελάμβανον. πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφευγόντων, παρὸ καὶ τοῖς ὑπ' Ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά.

⟨11⟩ Ὀὐεσπασιανὸς δ' ἄρας ἀπὸ τῆς Ἀμμαθοῦς, 3
ἔνθα πρὸ τῆς Τιβεριάδος ἐστρατοπεδεύκει (μεθερμηνευομένη δ' Ἀμμαθοῦς θερμὰ λέγοιτ' ἄν. ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν ἐπιτηδείων), ἀφικνεῖται πρὸς τὴν Γάμαλαν. ⟨12⟩ καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν οὐχ οἷός τ' ἦν οὕτω διακειμένην, πρὸς δὲ τοῖς δυνατοῖς φρουροὺς καθίστησι καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμβάνεται. ⟨13⟩ τειχισαμένων δ' ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ αὐτοῦ στρατόπεδον, χωμάτων ἤρχετο κατ' οὐρὰν καὶ τὸ

κατ' ἀνατολὰς αὐτοῦ μέρος, ἥπερ ὁ ἀνωτάτω τῆς πόλεως πύργος ἦν, ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα· καὶ τὸ πέμπτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς διώρυγας δ' ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον. ⟨14⟩ κἀν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασιλέα, καὶ περὶ παραδόσεως τοῖς ἑφεστῶσι πειρώμενον διαλέγεσθαι, βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. ⟨15⟩ καὶ ὃ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥωμαίους δ' ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ βασιλέως καὶ περὶ σφῶν αὐτῶν δέος· ⟨16⟩ οὐ γὰρ ἀπολείψειν ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

4 ⟨17⟩ συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει χειρῶν καὶ τῶν πραττομένων ἕθει, προσῆγον τὰς μηχανάς. ⟨18⟩ οἱ δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον (οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι) καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι· ⟨19⟩ παραχροτήσαντες δ' ὅμως ἐξήγαγον ἐπὶ τὸ τεῖχος. καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν. ⟨20⟩ καὶ προσαγαγόντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς διασείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ἐρειφθέντων εἰσχεόμενοι μετὰ πολλοῦ σαλπίγγων ἤχου καὶ κτύπου τῶν ὅπλων αὐτοί τ' ἐπαλαλάξοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν. ⟨21⟩ οἱ δὲ τέως μὲν

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

〈30〉 οἳ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους ἀνεχώρησαν ἐκ τῆς πόλεως· 〈31〉 Οὐεσπασιανὸς δ' ἀεὶ προσμένων τοῖς πονουμένοις (δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν), ἐν λήθῃ τοῦ καθ' αὑτὸν ἀσφαλοῦς γενόμενος λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς· 〈32〉 οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλμένος. 〈33〉 τραπῆναι μὲν οὖν οὔτ' ἀσφαλὲς οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, 〈34〉 συνασπίζει μὲν τοὺς ἅμ' αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον, καὶ οὔτ' ἀνδρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι ταῖς ὁρμαῖς ἐνέδοσαν. 〈35〉 ἀτονώτερον δὲ προσκειμένων αὐτὸς ἐπὶ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. 〈36〉 πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης Αἰβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ παντὸς καὶ πρότερον γενναιότατος φανεὶς καὶ πλεῖστα κακὰ Ἰουδαίους ἐργασάμενος. 〈37〉 ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ κατέδυ μὲν εἴς τινος οἰκίαν, 〈38〉 τῶν δ' ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον ὅσα κατὰ τῶν Ῥωμαίων ἢ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο καταχροασάμενος (ἦν δ' αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι) νύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρατιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

〈39〉 Οὐεσπασιανὸς δ' ἀθυμοῦσαν τὴν στρατιὰν ἐν- 6
νοίᾳ παισμάτων, καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ
συμφορᾷ κέχρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ
τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν,
παρεμυθεῖτο, 〈40〉 περὶ μὲν τοῦ καθ' αὑτὸν ὑποστελ-
λόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι δοκοίη, δεῖν
δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν, τὴν τοῦ πολέμου
φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ
περιγίγνεται· παλίμπους δ' ἡ τύχη περιίσταται. 〈41〉
τοσαύτας μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας αὐτοὺς
ὀλίγην τῷ δαίμονι δεδωκέναι συμβολήν. 〈42〉 εἶναι
δ', ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐ-
πραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσσειν ἐν τοῖς
παίσμασιν. ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή,
κἀκεῖνος ἄριστος ὁ κἀν τοῖς εὐτυχήμασι νήφων, ἵνα
μένῃ καὶ δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. 〈43〉
τὰ μέντοι συμβεβηκότα νῦν οὔτε μαλακισθέντων ὑμῶν
οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν. ἀλλὰ
κἀκείνοις τοῦ πλεονεκτῆσαι καὶ τοῦ διαμαρτεῖν ὑμῖν
αἴτιον ἡ δυσχωρία, 〈44〉 καθ' ἣν ἄν τις ὑμῶν μέμ-
ψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον. ἀναφυγόντων γὰρ ἐπὶ
τὰ ὑψηλὰ τῶν πολεμίων ἑαυτοὺς ὑποστέλλειν ἐχρῆν,
καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς κινδύνοις ἕπε-
σθαι, κρατοῦντας δὲ τῆς κάτω πόλεως κατ' ὀλίγον προ-
καλεῖσθαι τοὺς ἀναφεύγοντας εἰς ἀσφαλῆ καὶ ἕδραίαν
μάχην. νυνὶ δ' ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι
τῆς ἀσφαλείας ἠμελήσατε. 〈45〉 τὸ δ' ἀπερίσκεπτον
ἐν πολέμῳ καὶ [τῆς ὁρμῆς] μανιῶδες οὐ πρὸς Ῥωμαί-
ων, οἳ πάντ' ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ
βαρβαρικόν, καὶ ᾧ μάλιστα Ἰουδαῖοι κρατοῦνται. 〈46〉
χρὴ τοίνυν ἐπὶ τὴν ἑαυτῶν ἀρετὴν ἀναδραμεῖν καὶ

θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν παίσματι. ⟨47⟩ τὴν δ' ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. ⟨48⟩ πειράσομαι δ' ἐγώ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν θ' ὑμῶν εἰς τοὺς πολεμίους καὶ τελευταῖος ἀποχωρεῖν.'

7 ⟨49⟩ ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανε, τοῖς δὲ Γαμαλεῦσι πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη παραλόγως τε συμβάντι καὶ μεγάλως, ⟨50⟩ λογιζόμενοι δ' ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδα, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες (ἤδη γὰρ ἐπέλιπε τἀπιτήδεια), δεινῶς ἠθύμουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. ⟨51⟩ οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ παραρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλαττον οἱ λοιποί. ⟨52⟩ τῶν δὲ Ῥωμαίων ἐπιχωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ἥπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ὑπονόμων. ⟨53⟩ ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐνδείᾳ διεφθείροντο. πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

8 ⟨54⟩ καὶ οἳ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν, Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· ⟨55⟩ οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλῖμα, πεδίον δ' ἐστὶν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. ⟨56⟩ ἤγειρε

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων ἀποπηδῶσι· ⟨65⟩ κατηρείπετο δ' ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δ' οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον. ⟨66⟩ καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. ⟨67⟩ τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τ' ἦν καὶ πτόα πολλή, καθάπερ εἰσπεπαικότων πάντων τῶν πολεμίων· ⟨68⟩ ἔνθα καὶ Χάρης καταχείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. ⟨69⟩ Ῥωμαῖοί γε μὴν μεμνημένοι τοῦ προτέρου παίσματος οὐκ εἰσέβαλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

⟨70⟩ Τίτος δ' (ἤδη γὰρ παρῆν) ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτὸν ἐπλήγησαν ἁπόντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς οἷς καὶ πεζούς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. ⟨71⟩ καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ βοῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον. ⟨72⟩ ὅσοι δ' ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δ' ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. ⟨73⟩ πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Ὑεσπασιανός, πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ⟨74⟩ ἦν

δ' ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τ' ⟨75⟩ ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τούς τ' ἄλλους βέλεσι καὶ πέτρας καταχυλινδοῦντες ἐκάκουν, ⟨76⟩ αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. γίγνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἄντικρυς θύελλα δαιμόνιος, ἡ τὰ μὲν Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δ' αὐτῶν ἀνέστρεφε καὶ πλάγια παρέσυρεν. ⟨77⟩ οὔτε δὲ τοῖς ἀποχρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἕδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ⟨78⟩ ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας. ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. ⟨79⟩ ἀπογιγνώσκοντες δὲ τὴν σωτηρίαν, πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα. βαθυτάτη δ' αὕτη κατὰ τὴν ἄκραν ὑπορώρυκτο. ⟨80⟩ συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀπονοίας τῶν ἁλόντων πρᾳοτέραν φανῆναι. τετρακισχίλιοι μέν γ' ὑπὸ τούτων ἐσφάγησαν, ⟨81⟩ οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς. τῆς Φιλίππου δ' ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δ' ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στρατηγήσαντος Ἀγρίππᾳ τῷ βασιλεῖ. ⟨82⟩ διεσώθησαν δὲ τὰς παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι. οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δ' ἑκάστοθ' ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας.

⟨83⟩ Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι

μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορ-
2 πιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι. ⟨84⟩ μόνη δὲ Γίσ-
χαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο,
τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος (καὶ γὰρ ἦσαν
τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν
ἀεὶ προσανέχοντες), παρεισεφθαρμένου δ' αὐτοῖς οὐκ
ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτι-
κοῦ συνενόσουν. ⟨85⟩ ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπό-
στασιν καὶ συνεκρότει Λευίου τινὸς υἱὸς Ἰωάννης,
γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν
ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγε-
νέσθαι, παντί τ' ὢν δῆλος ἀγαπῶν τὸν πόλεμον εἰς
δυναστείας ἐπίθεσιν. ⟨86⟩ ὑπὸ τούτῳ τὸ στασιῶδες
ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσ-
βευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολέμου
μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. ⟨87⟩ Οὐεσπα-
σιανὸς δ' ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις
ἱππεῦσι, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπο-
λιν. ⟨88⟩ αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν
εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνά-
παυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν ἐπιτηδείων τά
τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος
ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. ⟨89⟩ οὐ γὰρ ὀλίγον
ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπό-
μενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ
προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δ' εἰς
αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων, ⟨90⟩
τό γε μὴν φύσει τ' ὀχυρὸν αὐτῆς, καὶ διὰ κατα-
σκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει·
φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμε-
στους καὶ δίχα τειχῶν ὑπελάμβανε. ⟨91⟩ διὸ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ναγκάσειν, ⟨99⟩ δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην (ἑβδομὰς γὰρ ἦν) χαρίσασθαι τῷ τῶν Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον. ⟨100⟩ οὐκ ἀγνοεῖν δ' οὐδὲ Ῥωμαίους ὡς ἀργὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος. ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως ⟨101⟩ (τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι), ⟨102⟩ μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν. πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους. ⟨103⟩ τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δ' ἐγκαταληφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου. ⟨104⟩ θεοῦ δ' ἦν ἔργον ἄρα, τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τῷ τῶν Ἱεροσολύμων ὀλέθρῳ, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυσσοῖς. ⟨105⟩ μεσόγειος δ' ἐστὶ Τυρίων κώμη καρτερά, διὰ μίσους [illegible] καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τ' οἰκη[illegible] καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς [illegible]

[illegible]κτὸς δ' ὁ Ἰωάννης ὡς οὐδεμίαν περὶ τῇ [illegible]ων ἑώρα φυλακήν, τὸν καιρὸν ἁρπασά[illegible]όνον τοὺς περὶ αὐτὸν ὁπλίτας ἀλλὰ καὶ [illegible]ν συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβών, [illegible]ων ἔφευγε. ⟨107⟩ μέχρι μὲν οὖν εἴκοσι

στιδίων οἷόν τ' ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλου ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἑωμένων ἦσαν ὀλοφύρσεις. ⟨108⟩ ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίγνετο πορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων. παρεῖναί τ' ἤδη τοὺς αἰχμαλωτιουμένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον. ⟨109⟩ ἀνοδίαις τ' ἐνέπιπτον οἱ πολλοί, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. ⟨110⟩ οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρρησαν, μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. ⟨111⟩ ἀλλ' ἐνίκα τὸ Ἰωάννου παράκέλευμα, σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους, ἂν ἁρπαγῶσι.

⟨112⟩ τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο, Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. ⟨113⟩ ἀνοίγει δ' αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν· ⟨114⟩ ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τ' αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ⟨115⟩ ὁ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν, οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν (ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών), τῶν δὲ συναπαράντων ἀποκτείνουσι μ

ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον. ⟨116⟩ ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης· ἱκανὸν δ' ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἰχμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσῄει τ' ἀνευφημούμενος εἰς τὴν πόλιν, ⟨117⟩ καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον ἢ κολάσει τοὺς ταράττοντας τὴν πόλιν ἀνέστελλε· ⟨118⟩ πολλοὺς γὰρ ἂν διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους. ἄμεινον δ' εἶναι μετέωρον φόβῳ τὸν αἴτιον καταλιπεῖν ἢ τινα τῶν οὐκ ἀξίων αὐτῷ συνανελεῖν· ⟨119⟩ τὸν μὲν γὰρ ἴσως κἂν σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρφχηκόσι συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. ⟨120⟩ φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτεριζοντας ἐφέξειν καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλε.

⟨121⟩ Γαλιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα Ῥωμαίους ἐπὶ τὰ Ἱεροσόλυμα, πρὸς δὲ τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνηθροισμένος τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. ⟨122⟩ τῶν δὲ τὸ μὲν ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην, ἠλαζονεύοντο δὲ κἀν κακοῖς, οὐ πεφευγέναι τοὺς Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ⟨123⟩ ἥκιστα γὰρ εἶναι καὶ ἀχρήστων παραβόλως προ- νευεῖν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων ἀποπηδῶσι· ⟨65⟩ κατηρείπετο δ' ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δ' οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον. ⟨66⟩ καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. ⟨67⟩ τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τ' ἦν καὶ πτόα πολλή, καθάπερ εἰσπεπαικότων πάντων τῶν πολεμίων· ⟨68⟩ ἔνθα καὶ Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. ⟨69⟩ Ῥωμαῖοί γε μὴν μεμνημένοι τοῦ προτέρου παίσματος οὐκ εἰσέβαλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

⟨70⟩ Τίτος δ' (ἤδη γὰρ παρῆν) ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτὸν ἐπλήγησαν ἅπαντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς οἷς καὶ πεζούς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. ⟨71⟩ καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ βοῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον. ⟨72⟩ ὅσοι δ' ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δ' ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. ⟨73⟩ πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Βέσπασιανός, πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ⟨74⟩ ἡ

δ' ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τ' ⟨75⟩ ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τούς τ' ἄλλους βέλεσι καὶ πέτρας καταχυλινδοῦντες ἐκάκουν, ⟨76⟩ αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. γίγνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἄντικρυς θύελλα δαιμόνιος, ἥ τὰ μὲν Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δ' αὐτῶν ἀνέστρεφε καὶ πλάγια παρέσυρεν. ⟨77⟩ οὔτε δὲ τοῖς ἀποκρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἑδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ⟨78⟩ ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας. ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. ⟨79⟩ ἀπογιγνώσκοντες δὲ τὴν σωτηρίαν, πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα. βαθυτάτη δ' αὕτη κατὰ τὴν ἄκραν ὑπορώρυκτο. ⟨80⟩ συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀποvοίας τῶν ἁλόντων πρεοτέραν φανῆναι. τετρακισχίλιοι μέν γ' ὑπὸ τούτων ἐσφάγησαν, ⟨81⟩ οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς. τῆς Φιλίππου δ' ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δ' ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στρατηγήσαντος Ἀγρίππᾳ τῷ βασιλεῖ. ⟨82⟩ διεσώθησαν δὲ τὰς παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι. οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δ' ἑκάστοθ' ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας.

⟨83⟩ Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι

μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορ-
2 πιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι. ⟨84⟩ μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος (καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν 5 ἀεὶ προσανέχοντες), παρεισεφθαρμένου δ' αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. ⟨85⟩ ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Δευίου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν 10 ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τ' ὢν δῆλος ἀγαπῶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. ⟨86⟩ ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολέμου 15 μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. ⟨87⟩ Οὐεσπασιανὸς δ' ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις ἵπποις, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν. ⟨88⟩ αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνά-
παυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν ἐπιτηδείων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. ⟨89⟩ οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δ' εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων, ⟨90⟩ τό γε μὴν φύσει τ' ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμεταχείριστους καὶ δίχα τειχῶν ὑπελάμβανε. ⟨91⟩ διὸ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ναγκάσειν, ⟨99⟩ *δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην* (*ἑβδομὰς γὰρ ἦν*) *χαρίσασθαι τῷ τῶν Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον.* ⟨100⟩ *οὐκ ἀγνοεῖν δ' οὐδὲ Ῥωμαίους ὡς ἀρχὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος. ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως* ⟨101⟩ (*τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι*), ⟨102⟩ *μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν. πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους.* ⟨103⟩ *τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δ' ἐγκαταληφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου.* ⟨104⟩ *θεοῦ δ' ἦν ἔργον ἄρα, τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τῷ τῶν Ἱεροσολύμων ὀλέθρῳ, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυσσοῖς.* ⟨105⟩ *μεσόγειος δ' ἐστὶ Τυρίων κώμη καρτερά, διὰ μίσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τ' οἰκητόρων καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδιον.*

4 ⟨106⟩ *νυκτὸς δ' ὁ Ἰωάννης ὡς οὐδεμίαν περὶ τῇ πόλει Ῥωμαίων ἑώρα φυλακήν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβών, ἐπὶ Ἱεροσολύμων ἔφευγε.* ⟨107⟩ *μέχρι μὲν οὖν εἴκοσι*

σταδίων οἱόν τ' ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἑωμένων ἦσαν ὀλοφύρσεις. ⟨108⟩ ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίγνετο ῥᾳθυμότερος, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων. παρεῖναί τ' ἤδη τοὺς αἰχμαλωτιουμένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον. ⟨109⟩ ἀνοδίαις τ' ἐνέπιπτον οἱ πολλοί, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. ⟨110⟩ οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρρησαν, μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. ⟨111⟩ ἀλλ' ἐνίκα τὸ Ἰωάννου παράκελευμα, σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους, ἂν ἁρπαγῶσι.

⟨112⟩ τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο, Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. ⟨113⟩ ἀνοίγει δ' αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν· ⟨114⟩ ἐθήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τ' αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ⟨115⟩ ὁ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν, οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν (ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών), τῶν δὲ συναπαράντων ἀποκτείνουσι μὲν εἰς

ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον. ⟨116⟩ ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης· ἱκανὸν δ' ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἱχμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσῄει τ' ἀνευφημούμενος εἰς τὴν πόλιν, ⟨117⟩ καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον ἢ κολάσει τοὺς ταράττοντας τὴν πόλιν ἀνέστελλε· ⟨118⟩ πολλοὺς γὰρ ἂν διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους. ἄμεινον δ' εἶναι μετέωρον φόβῳ τὸν αἴτιον καταλιπεῖν ἢ τινα τῶν οὐκ ἀξίων αὐτῷ συνανελεῖν· ⟨119⟩ τὸν μὲν γὰρ ἴσως κἂν σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρφχημένοις συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. ⟨120⟩ φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλε.

⟨121⟩ Γαλιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα Ῥωμαίους ἐπὶ τὰ Ἱεροσόλυμα, πρὸς δὲ τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνηθροισμένος τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. ⟨122⟩ τῶν δὲ τὸ μὲν ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην, ἠλαζονεύοντο δὲ κἀν κακοῖς, οὐ πεφευγέναι τοὺς Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ⟨123⟩ ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων παραβόλως προκινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων ἀποκηδῶσι· ⟨65⟩ κατηρείπετο δ' ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δ' οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον. ⟨66⟩ καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. ⟨67⟩ τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τ' ἦν καὶ πτόα πολλή, καθάπερ εἰσπεπαικότων πάντων τῶν πολεμίων· ⟨68⟩ ἔνθα καὶ Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. ⟨69⟩ Ῥωμαῖοί γε μὴν μεμνημένοι τοῦ προτέρου παίσματος οὐκ εἰσέβαλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

⟨70⟩ Τίτος δ' (ἤδη γὰρ παρῆν) ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτὸν ἐπλήγησαν ἅπαντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς οἷς καὶ πεζούς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. ⟨71⟩ καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης οἳ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ βοῆς, οἳ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον. ⟨72⟩ ὅσοι δ' ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δ' ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. ⟨73⟩ πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Οὐεσπασιανός, πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ⟨74⟩ ἦν

δ' ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τ' ⟨75⟩ ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τούς τ' ἄλλους βέλεσι καὶ πέτρας καταχυλινδοῦντες ἐκάκουν, ⟨76⟩ αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. γίγνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἄντικρυς θύελλα δαιμόνιος, ἡ τὰ μὲν Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δ' αὐτῶν ἀνέστρεφε καὶ πλάγια παρέσυρεν. ⟨77⟩ οὔτε δὲ τοῖς ἀποκρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἕδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ⟨78⟩ ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας. ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. ⟨79⟩ ἀπογιγνώσκοντες δὲ τὴν σωτηρίαν, πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα. βαθυτάτη δ' αὕτη κατὰ τὴν ἄκραν ὑπορώρυκτο. ⟨80⟩ συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀπονοίας τῶν ἁλόντων πρεσβυτέραν φανῆναι. τετρακισχίλιοι μέν γ' ὑπὸ τούτων ἐσφάγησαν, ⟨81⟩ οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς. τῆς Φιλίππου δ' ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δ' ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στρατηγήσαντος Ἀγρίππᾳ τῷ βασιλεῖ. ⟨82⟩ διεσώθησαν δὲ τὰς παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι. οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δ' ἑκάστοθ' ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας.

⟨83⟩ Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι

μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορ-
2 πιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι. ⟨84⟩ μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος (καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέχοντες), παρεισεφθαρμένου δ' αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. ⟨85⟩ ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Λευίου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τ' ὢν δῆλος ἀγαπῶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. ⟨86⟩ ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέταχτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. ⟨87⟩ Οὐεσπασιανὸς δ' ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσι, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν. ⟨88⟩ αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν ἐπιτηδείων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. ⟨89⟩ οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δ' εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων, ⟨90⟩ τό γε μὴν φύσει τ' ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμεταχείριστους καὶ δίχα τειχῶν ὑπελάμβανε. ⟨91⟩ διὸ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ναγκάσειν, ‹99› *δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην (ἑβδομὰς γὰρ ἦν) χαρίσασθαι τῷ τῶν Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον.* ‹100› *οὐκ ἀγνοεῖν δ' οὐδὲ Ῥωμαίους ὡς ἀρχὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος. ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως* ‹101› *(τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι),* ‹102› *μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν. πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους.* ‹103› *τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δ' ἐγκαταληφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου.* ‹104› *θεοῦ δ' ἦν ἔργον ἄρα, τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τῷ τῶν Ἱεροσολύμων ὀλέθρῳ, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυσσοῖς.* ‹105› *μεσόγειος δ' ἐστὶ Τυρίων κώμη καρτερά, διὰ μίσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τ' οἰκητόρων καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδιον.*

4 ‹106› *νυκτὸς δ' ὁ Ἰωάννης ὡς οὐδεμίαν περὶ τῇ πόλει Ῥωμαίων ἑώρα φυλακήν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβών, ἐπὶ Ἱεροσολύμων ἔφευγε.* ‹107› *μέχρι μὲν οὖν εἴκοσι*

σταδίων οἱόν τ' ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἑωμένων ἦσαν ὀλοφύρσεις. ⟨108⟩ ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίγνετο ῥορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων. παρεῖναί τ' ἤδη τοὺς αἰχμαλωτιουμένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον. ⟨109⟩ ἀνοδίαις τ' ἐνέπιπτον οἱ πολλοί, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. ⟨110⟩ οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρρησαν, μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. ⟨111⟩ ἀλλ' ἐνίκα τὸ Ἰωάννου παράκέλευμα, σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους, ἂν ἁρπαγῶσι.

⟨112⟩ τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο, Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. ⟨113⟩ ἀνοίγει δ' αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν· ⟨114⟩ ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τ' αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ⟨115⟩ ὁ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν, οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν (ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών), τῶν δὲ συναπαράντων ἀποκτείνουσι μὲν εἰς

ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγου ἀποδέοντα περιελάσαντες ἀνήγαγον. ⟨116⟩ ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης· ἱκανὸν δ' ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἱχμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσῄει τ' ἀνευφημούμενος εἰς τὴν πόλιν, ⟨117⟩ καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον ἢ κολάσει τοὺς ταράττοντας τὴν πόλιν ἀνέστελλε· ⟨118⟩ πολλοὺς γὰρ ἂν διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους. ἄμεινον δ' εἶναι μετέωρον φόβῳ τὸν αἴτιον καταλιπεῖν ἢ τινα τῶν οὐκ ἀξίων αὐτῷ συνανελεῖν· ⟨119⟩ τὸν μὲν γὰρ ἴσως κἂν σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρῳχημένοις συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. ⟨120⟩ φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλε.

⟨121⟩ Γαλιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα Ῥωμαίους ἐπὶ τὰ Ἱεροσόλυμα, πρὸς δὲ τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνηθροισμένος τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. ⟨122⟩ τῶν δὲ τὸ μὲν ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην, ἠλαζονεύοντο δὲ κἀν κακοῖς, οὐ πεφευγέναι τοὺς Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ⟨123⟩ ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων παραβόλως προκινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

χαλεπή. ⟨132⟩ καὶ πρῶτον μὲν ἐν οἰκίαις ἥπτετο τῶν δμονοούντων πάλαι τὸ φιλόνικον, ἔπειτ' ἀφηνιάζοντες ἀλλήλων οἱ φίλτατοι λαοί, καὶ συνιὼν ἕκαστος πρὸς τοὺς ταὐτὰ προαιρουμένους, ἤδη κατὰ πλῆθος ἀντετάττοντο. ⟨133⟩ καὶ στάσις μὲν ἦν πανταχοῦ, τὸ νεωτερίζον δὲ καὶ τῶν ὅπλων ἐπιθυμοῦν ἐκράτει νεότητι καὶ τόλμῃ γηραιῶν καὶ σωφρόνων. ⟨134⟩ ἐτράποντο δὲ πρῶτον μὲν εἰς ἁρπαγὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συνταττόμενοι κατὰ λόχους ἐπὶ λῃστείαν τῶν κατὰ τὴν χώραν, ὡς ὠμότητος καὶ παρανομίας ἕνεκεν μηδὲν αὐτοῖς Ῥωμαίων τοὺς ὁμοφύλους διαφέρειν, καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν δοκεῖν τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν. ⟨135⟩ οἱ φρουροὶ δὲ τῶν πόλεων τὰ μὲν ὄκνῳ τοῦ κακοπαθεῖν, τὰ δὲ μίσει τοῦ ἔθνους, οὐδὲν ἢ μικρὰ προσήμυνον τοῖς κακουμένοις, μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπαγῶν ἀθροισθέντες οἱ τῶν πανταχοῦ συνταγμάτων ἀρχιλῃσταὶ καὶ γενόμενοι πονηρίας στῖφος εἰς Ἱεροσόλυμα παρεισφθείρονται, ⟨136⟩ πόλιν ἀστρατήγητον, καὶ πατρίῳ μὲν ἔθει πᾶν ἀπαρατηρήτως δεχομένην τὸ δμόφυλον, τότε δ' οἰομένων ἁπάντων τοὺς ἐπεισχεομένους πάντας ἀπ' εὐνοίας ἥκειν συμμάχους. ⟨137⟩ δ δὴ καὶ δίχα τῆς στάσεως ὕστερον ἐβάπτισεν τὴν πόλιν· πλήθει γὰρ ἀχρήστῳ καὶ ἀργῷ προεξανηλώθη τὰ τοῖς μαχίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ στάσιν τ' αὐτοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν.

⟨138⟩ ἄλλοι τ' ἀπὸ τῆς χώρας λῃσταὶ παρελθόντες εἰς τὴν πόλιν, καὶ τοὺς ἔνδον προσλαβόντες χαλεπωτέρους, οὐδέν τι τῶν δεινῶν παρίεσαν· ⟨139⟩ οἵ γ' οὐ μόνον ἁρπαγαῖς καὶ λωποδυσίαις τὴν τόλμαν ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων ἐχώρουν, οὐ νυκτὸς ἢ

λαθραίως, οὐδ' ἐπὶ τοὺς τυχόντας, ἀλλὰ φανερῶς καὶ μεθ' ἡμέραν καὶ τῶν ἐπισημοτάτων καταρχόμενοι. ⟨140⟩ πρῶτον μὲν γὰρ Ἀντίπαν, ἄνδρα τοῦ βασιλικοῦ γένους καὶ τῶν κατὰ τὴν πόλιν δυνατώτατον, ὡς καὶ τοὺς δημοσίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἶρξαν· ⟨141⟩ ἐπὶ τούτῳ Ἀευίαν τινὰ τῶν ἐπισήμων καὶ Σωφᾶν υἱὸν Ῥαγουήλου (βασιλικὸν δ' ἦν καὶ τούτων τὸ γένος), πρὸς δὲ τοὺς κατὰ τὴν χώραν προύχειν δοκοῦντας. ⟨142⟩ δεινὴ δὲ κατάπληξις εἶχε τὸν δῆμον, καὶ καθάπερ κατειλημμένης τῆς πόλεως πολέμῳ τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάπα.

⟨143⟩ τοῖς δ' οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, οὐδ' ἀσφαλὲς ᾤοντο μέχρι πολλοῦ δυνατοὺς ἄνδρας οὕτω φυλάττειν· ⟨144⟩ ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴκους αὐτῶν πρὸς ἄμυναν οὐκ ὀλιγάνδρους ὄντας, οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα κινηθέντα πρὸς τὴν παρανομίαν. ⟨145⟩ δόξαν οὖν ἀναιρεῖν αὐτούς, Ἰωάννην τινὰ πέμπουσι τὸν ἐξ αὐτῶν εἰς φόνους προχειρότατον· Δορκάδος οὗτος ἐκαλεῖτο παῖς κατὰ τὴν ἐπιχώριον γλῶτταν. ᾧ δέκα συνελθόντες εἰς τὴν εἱρκτὴν ξιφήρεις ἀποσφάττουσι τοὺς συνειλημμένους. ⟨146⟩ παρανομήματι δ' ἐπὶ τηλικούτῳ μεγάλην ἐπεψεύδοντο καὶ πρόφασιν· διαλεχθῆναι γὰρ αὐτοὺς Ῥωμαίοις περὶ παραδόσεως τῶν Ἱεροσολύμων καὶ προδότας ἀνῃρηκέναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον, καθ' ὅλου τ' ἐπηλαζονεύοντο τοῖς τολμήμασιν ὡς εὐεργέται καὶ σωτῆρες τῆς πόλεως γεγενημένοι.

⟨147⟩ συνέβη δ' εἰς τοσοῦτον τὸν μὲν δῆμον ταπεινότητος καὶ δέους, ἐκείνους δ' ἀπονοίας προελθεῖν, ὡς ἐπ' αὐτοῖς εἶναι καὶ τὰς χειροτονίας τῶν ἀρχιερέων.

〈148〉 ἄκυρα γοῦν τὰ γένη ποιήσαντες ἐξ ὧν κατὰ διαδοχὰς οἱ ἀρχιερεῖς ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ ἀγεννεῖς, ἵν' ἔχοιεν συνεργοὺς τῶν ἀσεβημάτων· 〈149〉 τοῖς γὰρ παρ' ἀξίαν ἐπιτυχοῦσι τῆς ἀνωτάτω τιμῆς ὑπακούειν ἦν ἀνάγκη τοῖς παρασχοῦσι. 〈150〉 συνέκρουον δὲ καὶ τοὺς ἐν τέλει ποικίλαις ἐπινοίαις καὶ λογοποιίαις, καιρὸν ἑαυτοῖς ἐν ταῖς πρὸς ἀλλήλους τῶν κωλυόντων φιλονικίαις ποιούμενοι, μέχρι τῶν εἰς ἀνθρώπους ὑπερεμπλησθέντες ἀδικημάτων ἐπὶ τὸ θεῖον μετήνεγκαν τὴν ὕβριν καὶ μεμιασμένοις τοῖς ποσὶ παρῆσαν εἰς τὸ ἅγιον.

7 〈151〉 ἐπανισταμένου δ' αὐτοῖς ἤδη τοῦ πλήθους (ἐνῆγε γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρονέστατος, καὶ τάχ' ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν ἐπιβούλων χεῖρας ἐξέφυγεν), οἳ δὲ τὸν νεὼν τοῦ θεοῦ φρούριον αὑτοῖς καὶ τῶν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται καταφυγήν, καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον. 〈152〉 παρεκίνατο δὲ τοῖς δεινοῖς εἰρωνεία, τὸ τῶν ἐνεργουμένων ἀλγεινότερον. 〈153〉 ἀποπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταπλήξεως, καὶ τὴν αὑτῶν δοκιμάζοντες ἰσχύν, κληρωτοὺς ἐπεχείρησαν ποιεῖν τοὺς ἀρχιερεῖς, οὔσης, ὡς ἔφαμεν, κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. 〈154〉 ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβουλῆς ἔθος ἀρχαῖον, ἐπειδὴ καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην, τὸ δ' ἀληθὲς τοῦ βεβαιοτέρου νόμου κατάλυσις καὶ τέχνη πρὸς δυνα-

8 στείαν, τὰς ἀρχὰς δι' αὐτῶν καθισταμένοις. 〈155〉 καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν φυλὴν (Ἐνιαχειμ καλεῖται), διεκλήρουν ἀρχιερέα. λαγχάνει δ' ἀπὸ τύχης ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρα- νομίαν, Φαννίας τις ὄνομα, υἱὸς Σαμουήλου κώμης

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι καταγέμοντα καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαιφόνων στενοχωρουμένας. ⟨164⟩ ἀλλὰ περιχείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα, καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ξῶ καὶ φιλοψυχῶ, μηδ' ὑπὲρ τοὐμοῦ γήρως ὑπομένων εὐκλεᾶ θάνατον. εἰ δὲ δὴ μόνος εἰμὶ καὶ καθάπερ ἐν ἐρημίᾳ, τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ θεοῦ. ⟨165⟩ τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι, καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις; ἁρπαζόμενοι γοῦν ἀνέχεσθε καὶ τυπτόμενοι σιωπᾶτε, καὶ τοῖς φονευομένοις οὐδ' ἐπιστένει τις ἀναφανδόν. ⟨166⟩ ὦ τῆς πικρᾶς τυραννίδος. τί δὲ μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ ἐτράφησαν ὑφ' ὑμῶν καὶ τῆς ὑμετέρας ἀνεξικακίας; ⟨167⟩ μὴ γὰρ οὐχ ὑμεῖς περιιδόντες τοὺς πρώτους συνισταμένους (ἔτι δ' ἦσαν ὀλίγοι) πλείους ἐποιήσατε τῇ σιωπῇ, καὶ καθοπλιζομένων ἠρεμοῦντες καθ' ἑαυτῶν ἐπεστρέψατε τὰ ὅπλα, ⟨168⟩ δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν; ὑμεῖς δ' ἀμελήσαντες ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἁλιτηρίους. καὶ πορθουμένων οἴκων λόγος ἦν οὐδείς· τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας. καὶ συρομένοις διὰ μέσης τῆς πόλεως οὐδεὶς ἐπήμυνεν. ⟨169⟩ οἳ δὲ καὶ δεσμοῖς ἠκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας, ἐῶ λέγειν πόσους καὶ ποταπούς, ἀλλ' ἀκαταιτιάτους, ἀκρίτους. οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις· ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. ⟨170⟩ ἐπείδομεν καὶ τοῦτο, καθάπερ ἐξ ἀγέλης ζῴων ἀλόγων ἑλκομένου τοῦ κρατιστεύοντος ἀεὶ θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν, οὐχ ὅπως ἐκίνησε τὴν δεξιάν. ⟨171⟩ φέρετε

δὴ τοίνυν, φέρετε πατούμενα βλέποντες τὰ ἅγια, καὶ πάντας ὑποθέντες αὐτοὶ τοῖς ἀνοσίοις τοὺς τῶν τολμημάτων βαθμοὺς μὴ βαρύνεσθε τὴν ὑπεροχήν· καὶ γὰρ νῦν πάντως ἂν ἐπὶ μεῖζον προύκοψαν, εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον. κεκράτηται μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως ⟨172⟩ (λεγέσθω γὰρ νῦν τὸ ἱερὸν ὡς ἄκρα τις ἢ φρούριον)· ἔχοντες δ' ἐπιτειχισμένην τυραννίδα τοσαύτην, καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί βουλεύεσθε καὶ τίσι τὰς γνώμας προσθάλπετε; ⟨173⟩ Ῥωμαίους ἄρα περιμενεῖτε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν οὕτω τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵν' ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι. ⟨174⟩ οὐκ ἐξαναστήσεσθε, ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ κἀπὶ τῶν θηρίων ἔστιν ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε; οὐκ ἀναμνησθήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδ', ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι, τὰς ψυχὰς ἐπ' αὐτοὺς θήξετε πρὸς τὴν ἄμυναν; ⟨175⟩ ἀπόλωλεν ἄρα παρ' ὑμῖν τὸ τιμιώτατον τῶν παθῶν καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία· φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν, ὥσπερ ἐκ προγόνων τὸ ὑποτάττεσθαι παραλαβόντες. ⟨176⟩ ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν, καὶ οὔτε τῆς Αἰγυπτίων οὔτε τῆς Μήδων δυναστείας ἡττήθησαν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον. ⟨177⟩ καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν; ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους πόλεμος, ἐᾷ διελέγχειν πότερον λυσιτελὴς ὢν καὶ σύμφορος ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν; οὐ τὴν ἐλευθερίαν; ⟨178⟩ εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες τῶν ὁμοφύλων τυράν-

νων ἀνεξόμεθα; ⟨179⟩ καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἡττήσασαν τύχην· τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστι καὶ προαιρουμένων. ⟨180⟩ ἐπειδὴ δ' ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις (ἀπείη δ' ἡ πεῖρα τοῦ λόγου), χαλεπώτερον οὐδὲν παθεῖν ἔχομεν ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. ⟨181⟩ πῶς δ' οὐ δακρύων ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν, τῶν δ' ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας ὧν ἀπέσχοντ' ἂν κἀκεῖνοι κρατήσαντες· ⟨182⟩ καὶ Ῥωμαίους μὲν μηδέποτε ὑπερβῆναι τὸν δρον τῶν βεβήλων, μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν δρῶντας τοὺς τῶν ἁγίων περιβόλους, ⟨183⟩ γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ Ἰουδαίους καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων. ⟨184⟩ εἶτά τις δέδοικε τὸν ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; καὶ γὰρ ἄν, εἰ ἐτύμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόττειν, τάχ' ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ⟨185⟩ ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσειε δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἴκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις αὐτοὺς ἃ πεπόνθατε· ⟨186⟩ καταπλήττονται δ' οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ τὴν τόλμαν,

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ταττε τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ξηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν (παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου) παροξύνονται, κἀκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους οὐδενὸς ἐφείδοντο τῶν προστυγχάνόντων. ⟨197⟩ ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι λειπόμενον τῶν ξηλωτῶν. ⟨198⟩ τὸ πρόθυμον δὲ παρ' ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν. ⟨199⟩ καὶ οἱ μὲν ἀοίκητον ὑπολαμβάνοντες αὐτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ξηλωταὶ δ', εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἧς τινὸς ὑστερήσειν τιμωρίας. ⟨200⟩ συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι. καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τ' ἐγίγνοντο συχνοί. ⟨201⟩ καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ξηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει, καθαιμάττων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα μιαναι τὰ ἅγια. ⟨202⟩ κατὰ μὲν οὖν τὰς συμβολὰς ἐτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί. τεθυμωμένοι οἱ δημοτικοὶ καὶ πλείους ἀεὶ γιγνόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀνεχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουτὸ σφέτερον εἰς τοὺς ἐναντίους, ⟨203⟩ κἀκείνων μικέτ' ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δ' ἀναχωρούντω

εἰς τὸ ἱερόν, συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. ⟨204⟩ τοῖς δὲ κατάπληξις ἐμπίπτει στερομένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδοτέρω ταχέως ἀποκλείουσι τὰς πύλας. ⟨205⟩ τῷ δ' Ἀνάνῳ προσβάλλειν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν, ἄλλως τε κἀκείνων βαλλόντων ἄνωθεν· ἀθέμιτον δ' ἡγεῖτο, κἂν κρατήσῃ, μὴ προηγνευκὸς εἰσαγαγεῖν τὸ πλῆθος. ⟨206⟩ διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας καθίστησιν ἐπὶ ταῖς στοαῖς φρουρούς. ⟨207⟩ διεδέχοντο δ' ἄλλοι τούτους, καὶ παντὶ μὲν ἦν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ περιόδου, πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἀφεθέντες ὑπὸ τῶν ἄρχειν δοκούντων, μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν φρουρὰν ἔπεμπον.

⟨208⟩ γίγνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάννης, ὃν ἔφαμεν ἀπὸ Γισχάλων διαδρᾶναι, δολιώτατος ἀνὴρ καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν ἐπεβούλευε τοῖς πράγμασι. ⟨209⟩ καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος, συμπεριῄει μὲν τῷ Ἀνάνῳ βουλευομένῳ σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν καὶ νύκτωρ ἐπιόντι τὰς φυλακάς, διήγγελλε δὲ τἀπόρρητα τοῖς ζηλωταῖς· καὶ πᾶν σκέμμα τοῦ δήμου, πρὶν καλῶς βουλευθῆναι, παρὰ τοῖς ἐχθροῖς ἐγιγνώσκετο δι' αὐτοῦ. ⟨210⟩ μηχανώμενος δὲ τὸ μὴ δι' ὑποψίας ἐλθεῖν, ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις πρός τε τὸν Ἄνανον καὶ τοὺς τοῦ δήμου προεστῶτας. ⟨211⟩ ἐχώρει δ' εἰς τοὐναντίον αὐτῷ τὸ φιλότιμον· διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ τὸ πανταχοῦ παρεῖναι μὴ καλούμενον ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε. ⟨212⟩ συνεώρων μὲν γὰρ αἰσθανομέ-

νους ἅπαντας τοὺς ἐχθροὺς τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου πρὸς ὑποψίας τοῦ διαγγέλλειν. ⟨213⟩ ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥάδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεξωσμένον τε πολλοὺς τῶν συνεδρευόντων τοῖς ὅλοις· ἐδόκει δ' αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν. ⟨214⟩ ὤμνυε δ' ὁ Ἰωάννης ἑτοίμως εὐνοήσειν τε τῷ δήμῳ καὶ μήτε βουλήν τινα μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς, συγκαταλύσειν δὲ τοὺς ἐπιτιθεμένους καὶ χειρὶ καὶ γνώμῃ. ⟨215⟩ οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον, καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοὺς μὴ μιᾶναι τὸ ἱερόν, μηδέ
14 τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν. ⟨216⟩ ὁ δ', ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὁμόσας καὶ οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω καὶ καταστὰς εἰς μέσους πολλάκις μὲν ἔφη κινδυνεῦσαι δι' αὐτούς, ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν Ἄνανον ἐβουλεύσαντο· ⟨217⟩ νῦν δὲ τὸν μέγιστον ἀναρρίπτειν κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. ⟨218⟩ οὐ γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανόν, ἵν' ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν, ἀγνείαν δὲ παρηγγελκέναι κατ' αὐτῶν φυλάττειν εἰς τὴν ἑξῆς ἡμέραν, ἵν' ἢ κατὰ θρησκείαν εἰσελθόντες ἢ καὶ βιασάμενοι συμμίξωσιν αὐτοῖς. ⟨219⟩ οὐχ ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν ὑΐσουσιν ἢ παρατάξονται πρὸς τοσούτους. προσετίθει δ' ὡς αὐτὸς εἰσπεμφθείη, κατὰ θεοῦ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι καταγέμοντα καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαιφόνων στενοχωρουμένας. ⟨164⟩ ἀλλὰ περιχείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα, καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ζῷ καὶ φιλοψυχῶ, μηδ' ὑπὲρ τοὐμοῦ γήρως ὑπομένων εὐκλεᾶ θάνατον. εἰ δὲ δὴ μόνος εἰμὶ καὶ καθάπερ ἐν ἐρημίᾳ, τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ θεοῦ. ⟨165⟩ τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι, καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις; ⟨166⟩ ὦ τῆς πικρᾶς τυραννίδος. τί δὲ μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ ἐτράφησαν ὑφ' ὑμῶν καὶ τῆς ὑμετέρας ἀνεξικακίας; ⟨167⟩ μὴ γὰρ οὐχ ὑμεῖς περιιδόντες τοὺς πρώτους συνισταμένους (ἔτι δ' ἦσαν ὀλίγοι) πλείους ἐποιήσατε τῇ σιωπῇ, καὶ καθοπλιζομένων ἠρεμοῦντες καθ' ἑαυτῶν ἐπεστρέψατε τὰ ὅπλα, ⟨168⟩ δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν; ὑμεῖς δ' ἀμελήσαντες ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἁλιτηρίους. καὶ πορθουμένων οἴκων λόγος ἦν οὐδείς· τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας. καὶ συρομένοις διὰ μέσης τῆς πόλεως οὐδεὶς ἐπήμυνεν. ⟨169⟩ οἳ δὲ καὶ δεσμοῖς ἠκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας, ἐῶ λέγειν πόσους καὶ ποταπούς, ἀλλ' ἀκαταιτιάτους, ἀκρίτους. οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις· ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. ⟨170⟩ ἐπείδομεν καὶ τοῦτο, καθάπερ ἐξ ἀγέλης ζῴων ἀλόγων ἑλκομένου τοῦ κρατιστεύοντος ἀεὶ θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν, οὐχ ὅπως ἐκίνησε τὴν δεξιάν. ⟨171⟩ φέρετε

δὴ τοίνυν, φέρετε πατούμενα βλέποντες τὰ ἅγια, καὶ πάντας ὑποθέντες αὐτοὶ τοῖς ἀνοσίοις τοὺς τῶν τολμημάτων βαθμοὺς μὴ βαρύνεσθε τὴν ὑπεροχήν· καὶ γὰρ νῦν πάντως ἂν ἐπὶ μεῖζον προύκοψαν, εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον. κεκράτηται μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως ⟨172⟩ (λεγέσθω γὰρ νῦν τὸ ἱερὸν ὡς ἄκρα τις ἢ φρούριον)· ἔχοντες δ' ἐπιτειχισμένην τυραννίδα τοσαύτην, καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί βουλεύεσθε καὶ τίσι τὰς γνώμας προσθάλπετε; ⟨173⟩ Ῥωμαίους ἄρα περιμενεῖτε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν οὕτω τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵν' ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι. ⟨174⟩ οὐκ ἐξαναστήσεσθε, ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ κἀπὶ τῶν θηρίων ἔστιν ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε; οὐκ ἀναμνησθήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδ', ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι, τὰς ψυχὰς ἐπ' αὐτοὺς θήξετε πρὸς τὴν ἄμυναν; ⟨175⟩ ἀπόλωλεν ἄρα παρ' ὑμῖν τὸ τιμιώτατον τῶν παθῶν καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία· φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν, ὥσπερ ἐκ προγόνων τὸ ὑποτάττεσθαι παραλαβόντες. ⟨176⟩ ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν, καὶ οὔτε τῆς Αἰγυπτίων οὔτε τῆς Μήδων δυναστείας ἡττήθησαν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον. ⟨177⟩ καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν; ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους πόλεμος, ἐᾶ διελέγχειν πότερον λυσιτελὴς ὢν καὶ σύμφορος ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν; οὐ τὴν ἐλευθερίαν; ⟨178⟩ εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες τῶν δμοφύλων τυράν-

νων ἀνεξόμεθα; ⟨179⟩ καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἡττήσασαν τύχην· τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστι καὶ προαιρουμένων. ⟨180⟩ ἐπειδὴ δ' ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις (ἀπεί ἡ πεῖρα τοῦ λόγου), χαλεπώτερον οὐδὲν παθεῖν ἔχομεν ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. ⟨181⟩ πῶς δ' οὐ δακρύων ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν, τῶν δ' ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας ὧν ἀπέσχοντ' ἂν κἀκεῖνοι κρατήσαντες· ⟨182⟩ καὶ Ῥωμαίους μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων, μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν δρῶντας τοὺς τῶν ἁγίων περιβόλους, ⟨183⟩ γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ Ἰουδαίους καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων. ⟨184⟩ εἶτά τις δέδοικε τὸν ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; καὶ γὰρ ἄν, εἰ ἐτύμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόττειν, τάχ' ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ⟨185⟩ ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσειε δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἰκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ' αὐτοὺς ἃ πεπόνθατε· ⟨186⟩ καταπλήττονται δ' ἴσως οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ τὴν τόλμαν,

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

ταττε τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν (παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου) παρεξύνονται, κἀκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους οὐδενὸς ἐφείδοντο τῶν προστυγχανόντων. 5 ⟨197⟩ ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι λειπόμενον τῶν ζηλωτῶν. ⟨198⟩ τὸ πρόθυμον δὲ παρ' ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν. ⟨199⟩ καὶ οἳ μὲν ἀοίκητον ὑπολαμβάνοντες αὑτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ζηλωταὶ δ', εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἧς τινὸς ὑστερήσειν τιμωρίας. ⟨200⟩ συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι. καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τ' ἐγίγνοντο συχνοί. ⟨201⟩ καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει, καθαιμάττων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. ⟨202⟩ κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί. τεθυμωμένοι δ' οἱ δημοτικοὶ καὶ πλείους ἀεὶ γιγνόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ἐναντίους, ⟨203⟩ κἀκείνων μηκέτ' ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δ' ἀναχωρούντων

εἰς τὸ ἱερόν, συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. ⟨204⟩ τοῖς δὲ κατάπληξις ἐμπίπτει στερομένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδοτέρω ταχέως ἀποκλείουσι τὰς πύλας. ⟨205⟩ τῷ δ' Ἀνάνῳ προσβάλλειν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν, ἄλλως τε κἀκείνων βαλλόντων ἄνωθεν· ἀθέμιτον δ' ἡγεῖτο, κἂν κρατήσῃ, μὴ προηγνευκὸς εἰσαγαγεῖν τὸ πλῆθος. ⟨206⟩ διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας καθίστησιν ἐπὶ ταῖς στοαῖς φρουρούς. ⟨207⟩ διεδέχοντο δ' ἄλλοι τούτους, καὶ παντὶ μὲν ἦν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ περιόδου, πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἀφεθέντες ὑπὸ τῶν ἄρχειν δοκούντων, μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν φρουρὰν ἔπεμπον.

⟨208⟩ γίγνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάννης, ὃν ἔφαμεν ἀπὸ Γισχάλων διαδρᾶναι, δολιώτατος ἀνὴρ καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν ἐπεβούλευε τοῖς πράγμασι. ⟨209⟩ καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος, συμπεριῄει μὲν τῷ Ἀνάνῳ βουλευομένῳ σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν καὶ νύκτωρ ἐπιόντι τὰς φυλακάς, διήγγελλε δὲ τἀπόρρητα τοῖς ζηλωταῖς· καὶ πᾶν σκέμμα τοῦ δήμου, πρὶν καλῶς βουλευθῆναι, παρὰ τοῖς ἐχθροῖς ἐγιγνώσκετο δι' αὐτοῦ. ⟨210⟩ μηχανώμενος δὲ τὸ μὴ δι' ὑποψίας ἐλθεῖν, ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις πρός τε τὸν Ἄνανον καὶ τοὺς τοῦ δήμου προεστῶτας. ⟨211⟩ ἐχώρει δ' εἰς τοὐναντίον αὐτῷ τὸ φιλότιμον· διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ τὸ πανταχοῦ παρεῖναι μὴ καλούμενον ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε. ⟨212⟩ συνεώρων μὲν γὰρ αἰσθανομέ-

νους ἅπαντας τοὺς ἐχθροὺς τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου πρὸς ὑποψίας τοῦ διαγγέλλειν. ⟨213⟩ ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥάδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεξωσμένον τε πολλοὺς τῶν συνεδρευόντων τοῖς ὅλοις· ἐδόκει δ' αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν. ⟨214⟩ ὤμνυε δ' ὁ Ἰωάννης ἑτοίμως εὐνοήσειν τε τῷ δήμῳ καὶ μήτε βουλὴν τινα μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς, συγκαταλύσειν δὲ τοὺς ἐπιτιθεμένους καὶ χειρὶ καὶ γνώμῃ. ⟨215⟩ οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον, καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοὺς μὴ μιᾶναι τὸ ἱερόν, μηδέ 14 τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν. ⟨216⟩ ὁ δ', ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὁμόσας καὶ οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω καὶ καταστὰς εἰς μέσους πολλάκις μὲν ἔφη κινδυνεῦσαι δι' αὐτούς, ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν Ἄνανον ἐβουλεύσαντο· ⟨217⟩ νῦν δὲ τὸν μέγιστον ἀναρρίπτειν κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. ⟨218⟩ οὐ γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανόν, ἵν' ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν, ἀγνείαν δὲ παρηγγελκέναι κατ' αὐτῶν φυλάττειν εἰς τὴν ἑξῆς ἡμέραν, ἵν' ἢ κατὰ θρησκείαν εἰσελθόντες ἢ καὶ βιασάμενοι συμμίξωσιν αὐτοῖς. ⟨219⟩ οὐχ ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν ὑΐσουσιν ἢ παρατάξονται πρὸς τοσούτους. προσετίθει δ' ὡς αὐτὸς εἰσπεμφθείη, κατὰ θεοῦ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

νων ἀνεξόμεθα; ⟨179⟩ καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἡττήσασαν τύχην· τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστι καὶ προαιρουμένων. ⟨180⟩ ἐπειδὴ δ' ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις (ἀπείη δ' ἡ πεῖρα τοῦ λόγου), χαλεπώτερον οὐδὲν παθεῖν ἔχομεν ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. ⟨181⟩ πῶς δ' οὐ δακρύων ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν, τῶν δ' ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας ὧν ἀπέσχοντ' ἂν κἀκεῖνοι κρατήσαντες· ⟨182⟩ καὶ Ῥωμαίους μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων, μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν δρῶντας τοὺς τῶν ἁγίων περιβόλους, ⟨183⟩ γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ Ἰουδαίους καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων. ⟨184⟩ εἶτά τις δέδοικε τὸν ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; καὶ γὰρ ἄν, εἰ ἐτύμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόττειν, τάχ' ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ⟨185⟩ ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσειε δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἴκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ' αὐτοὺς ἃ πεπόνθατε· ⟨186⟩ καταπλήττονται δ' ἴσως οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ τὴν τόλμαν,

ἔτι δὲ καὶ τὴν ἐκ τοῦ τόπου πλεονεξίαν. ⟨187⟩ ταῦτα δ' ὥσπερ συνέστη διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ νῦν αὐξηθήσεται πλέον ὑπερθεμένων· καὶ γὰρ τὸ πλῆθος αὐτοῖς ἐπιτρέφεται καθ' ἡμέραν, παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτομολοῦντος, ⟨188⟩ καὶ τὴν τόλμαν ἐξάπτει (τὸ) μέχρι νῦν μηδὲν ἐμπόδιον (γενέσθαι), τῷ τε τόπῳ καθύπερθεν ὄντες χρήσονται καὶ μετὰ παρασκευῆς, ἂν ἡμεῖς χρόνον δῶμεν. ⟨189⟩ πιστεύσατε δ' ὡς, ἐὰν προσβαίνωμεν ἐπ' αὐτούς, ἔσονται τῇ συνειδήσει ταπεινότεροι, καὶ τὸ πλεονέκτημα τοῦ ὕψους ὁ λογισμὸς ἀπολεῖ. ⟨190⟩ τάχα τὸ θεῖον ὑβρισμένον ἀναστρέψει κατ' αὐτῶν τὰ βαλλόμενα, καὶ τοῖς σφετέροις διαφθαρήσονται βέλεσιν οἱ δυσσεβεῖς. μόνον ὀφθῶμεν αὐτοῖς, καὶ καταλελύσονται. ⟨191⟩ καλὸν δέ, κἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς τοῖς ἱεροῖς πυλῶσι, καὶ τὴν ψυχήν, εἰ καὶ μὴ πρὸ παίδων ἢ γυναικῶν, ἀλλ' ὑπὲρ τοῦ θεοῦ καὶ τῶν ἁγίων προέσθαι. ⟨192⟩ προστήσομαι δ' ἐγὼ γνώμῃ τε καὶ χειρί, κοὔτ' ἐπίνοιά τις ὑμῖν λείψει πρὸς ἀσφάλειαν ἐξ ἡμῶν οὔτε τοῦ σώματος ὄψεσθε φειδόμενον.'

⟨193⟩ τούτοις δ Ἄνανος παρεκρότει τὸ πλῆθος ἐπὶ τοὺς ξηλωτάς, οὐκ ἀγνοῶν μὲν ὡς εἶεν ἤδη δυσκατάλυτοι πλήθει τε καὶ νεότητι καὶ παραστήματι ψυχῆς, τὸ πλέον δὲ συνειδήσει τῶν εἰργασμένων· οὐ γὰρ ἐνδώσειν αὐτοὺς εἰς ἔσχατον συγγνώμην ἐφ' οἷς ἔδρασαν ἐλπίσαντας· ⟨194⟩ ὅμως δὲ πᾶν ὁτιοῦν παθεῖν προηρεῖτο μᾶλλον ἢ περιιδεῖν ἐν τοιαύτῃ τὰ πράγματα συγχύσει. ⟨195⟩ τὸ δὲ πλῆθος ἄγειν αὐτοὺς ἐβόα καθ' ὧν παρεκάλει, καὶ προκινδυνεύειν ἕκαστος ἦν ἑτοιμότατος.

⟨196⟩ ἐν ὅσῳ δ' ὁ Ἄνανος κατέλεγέ τε καὶ συνέ-

ταττε τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ξηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν (παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου) παροξύνονται, κἀκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους οὐδενὸς ἐφείδοντο τῶν προστυγχανόντων. ⟨197⟩ ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι λειπόμενον τῶν ξηλωτῶν. ⟨198⟩ τὸ πρόθυμον δὲ παρ' ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν. ⟨199⟩ καὶ οἳ μὲν ἀοίκητον ὑπολαμβάνοντες αὑτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ξηλωταὶ δ', εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἧς τινὸς ὑστερήσειν τιμωρίας. ⟨200⟩ συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι. καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τ' ἐγίγνοντο συχνοί. ⟨201⟩ καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ξηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει, καθαιμάττων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. ⟨202⟩ κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί. τεθυμωμένοι δ' οἱ δημοτικοὶ καὶ πλείους ἀεὶ γιγνόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ἐναντίους, ⟨203⟩ κἀκείνων μηκέτ' ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δ' ἀναχωρούντων

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

νους ἅπαντας τοὺς ἐχθροὺς τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου πρὸς ὑποψίας τοῦ διαγγέλλειν. ⟨213⟩ ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥάδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεξωσμένον τε πολλοὺς τῶν συνεδρευόντων τοῖς ὅλοις· ἐδόκει δ' αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν. ⟨214⟩ ὤμνυε δ' ὁ Ἰωάννης ἑτοίμως εὐνοήσειν τε τῷ δήμῳ καὶ μήτε βουλὴν τινα μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς, συγκαταλύσειν δὲ τοὺς ἐπιτιθεμένους καὶ χειρὶ καὶ γνώμῃ. ⟨215⟩ οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον, καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοὺς μὴ μιᾶναι τὸ ἱερόν, μηδέ τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν. ⟨216⟩ ὁ δ', ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὁμόσας καὶ οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω καὶ καταστὰς εἰς μέσους πολλάκις μὲν ἔφη κινδυνεῦσαι δι' αὐτούς, ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν Ἄνανον ἐβουλεύσαντο· ⟨217⟩ νῦν δὲ τὸν μέγιστον ἀναρριπτειν κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. ⟨218⟩ οὐ γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανόν, ἵν' ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν, ἀγνείαν δὲ παρηγγελκέναι κατ' αὐτῶν φυλάττειν εἰς τὴν ἑξῆς ἡμέραν, ἵν' ἢ κατὰ θρησκείαν εἰσελθόντες ἢ καὶ βιασάμενοι συμμίξωσιν αὐτοῖς. ⟨219⟩ οὐχ ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν ὑΐσουσιν ἢ παρατάξονται πρὸς τοσούτους. προσετίθει δ' ὡς αὐτὸς εἰσπεμφθείη, κατὰ θεοῦ

πρόνοιαν, ὡς πρεσβευτὴς ὑπὲρ διαλύσεων· τὸν γὰρ Ἄνανον ταύτας αὐτοῖς προτείνειν, ὅπως ἀόπλοις ἐπέλθῃ. ⟨220⟩ δεῖν οὖν ἢ τῷ λόγῳ τοῦ ξῆν τοὺς φρουροῦντας ἱκετεύειν, ἢ πορίζεσθαί τινα παρὰ τῶν ἔξωθεν ἐπικουρίαν. ⟨221⟩ τοὺς δὲ θαλπομένους ἐλπίδι συγγνώμης εἰ κρατηθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων τολμημάτων, ἢ νομίζειν ἅμα τῷ μετανοεῖν τοὺς δεδρακότας εὐθέως ὀφείλειν διηλλάχθαι καὶ τοὺς παθόντας. ⟨222⟩ ἀλλὰ τῶν μὲν ἀδικησάντων διὰ μίσους πολλάκις γίγνεσθαι καὶ τὴν μεταμέλειαν, τοῖς δ' ἀδικηθεῖσι τὰς ὀργὰς ἐπ' ἐξουσίας χαλεπωτέρας. ⟨223⟩ ἐφεδρεύειν δ' ἀεὶ ἐκείνοις φίλους καὶ συγγενεῖς τῶν ἀπολωλότων, καὶ δῆμον τοσοῦτον ὑπὲρ καταλύσεως νόμων καὶ δικαστηρίων τεθυμωμένον, ὅπου κἂν ἥ τι μέρος τὸ ἐλεοῦν, ὑπὸ πλείονος ἂν αὐτὸ τοῦ διαγανακτοῦντος ἀφανισθῆναι.

⟨224⟩ τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως δεδισσόμενος, καὶ τὴν ἔξωθεν βοήθειαν ἀναφανδὸν μὲν οὐκ ἐθάρρει λέγειν, ἠνίττετο δὲ τοὺς Ἰδουμαίους. ἵνα δὲ καὶ τοὺς ἡγεμόνας τῶν ζηλωτῶν ἰδίᾳ παροξύνῃ, τὸν Ἄνανον εἰς τ' ὠμότητα διέβαλλε καὶ ἀπειλεῖν ἐκείνοις ἑξαιρέτως ἔλεγεν. ⟨225⟩ ἦσαν δ' Ἐλεάζαρος μὲν υἱὸς Σίμωνος, ὃς δὴ καὶ πιθανώτατος ἐδόκει τῶν ἐν αὐτοῖς νοῆσαί τε τὰ δέοντα καὶ τὰ νοηθέντα πρᾶξαι, Ζαχαρίας θ' υἱὸς Φαλέκου, γένος ἐκ τῶν ἱερέων ἑκάτερος. ⟨226⟩ οὗτοι πρὸς ταῖς κοιναῖς τὰς ἰδίας καθ' αὑτῶν ἀπειλὰς ἀκούσαντες, ἔτι δ' ὡς οἱ περὶ τὸν Ἄνανον δυναστείαν ἑαυτοῖς περιποιούμενοι Ῥωμαίους ἐπικαλοῖντο (καὶ γὰρ καὶ τοῦτο Ἰωάννης προσεψεύσατο), μέχρι πολλοῦ μὲν ἠπόρουν τί χρὴ πράττειν εἰς ὀξὺν οὕτω καιρὸν συνεωσμένους. ⟨227⟩ παρεσκευάσθαι μὲν

γὰρ τὸν δῆμον ἐπιχειρεῖν αὐτοῖς οὐκ εἰς μακράν, αὐτῶν δὲ τὸ σύντονον τῆς ἐπιβουλῆς ὑποτετμῆσθαι τὰς ἔξωθεν ἐπικουρίας· πάντα γὰρ ἂν φθῆναι παθεῖν πρὶν καὶ πυθέσθαι τινὰ τῶν συμμάχων. ⟨228⟩ ἔδοξε δ' ὅμως ἐπικαλεῖσθαι τοὺς Ἰδουμαίους. καὶ γράψαντες ἐπιστολὴν σύντομον ὡς Ἄνανος μὲν προδιδοίη Ῥωμαίοις τὴν μητρόπολιν ἐξαπατήσας τὸν δῆμον, αὐτοὶ δ' ὑπὲρ τῆς ἐλευθερίας ἀποστάντες ἐν τῷ ἱερῷ φρουροῖντο, ⟨229⟩ ὀλίγος δ' ἔτι χρόνος αὐτοῖς βραβεύοι τὴν σωτηρίαν, εἰ δὲ μὴ βοηθήσουσιν ἐκεῖνοι κατὰ τάχος, αὐτοὶ μὲν ὑπ' Ἀνάνῳ τε καὶ τοῖς ἐχθροῖς, ἡ πόλις δ' ὑπὸ Ῥωμαίοις φθάσει γενομένη, τὰ δὲ πολλὰ τοῖς ἀγγέλοις ἐνετέλλοντο πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων διαλέγεσθαι. ⟨230⟩ προυβλήθησαν δ' ἐπὶ τὴν ἀγγελίαν δύο τῶν δραστηρίων ἀνδρῶν, εἰπεῖν θ' ἱκανοὶ καὶ πεῖσαι περὶ πραγμάτων, τὸ δὲ τούτων χρησιμώτερον, ὠκύτητι ποδῶν διαφέροντες. ⟨231⟩ τοὺς μὲν γὰρ Ἰδουμαίους αὐτόθεν ἤδεισαν πεισθησομένους ἅτε θορυβῶδες καὶ ἄτακτον ἔθνος, ἀεί τε μετέωρον τὰ κινήματα καὶ μεταβολαῖς χαῖρον, πρὸς ὀλίγην δὲ κολακείαν τῶν δεομένων τὰ ὅπλα κινοῦν, καὶ καθάπερ εἰς ἑορτὴν τὰς παρατάξεις ἐπειγόμενον· ⟨232⟩ ἔδει δὲ τάχους εἰς τὴν ἀγγελίαν. εἰς ὃ μηδὲν ἐλλείποντες προθυμίας οἱ πεμφθέντες (ἐκαλεῖτο δ' αὐτῶν Ἀνανίας ἑκάτερος) καὶ δὴ πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων
2 παρῆσαν. ⟨233⟩ οἳ δὲ πρὸς τὴν ἐπιστολὴν καὶ τὰ ῥηθέντα παρὰ τῶν ἀφιγμένων ἐκπλαγέντες, ὥσπερ ἐμμανεῖς περιέθεόν τε τὸ ἔθνος καὶ διεκήρυττον τὴν στρατείαν. ⟨234⟩ ἤθροιστο δ' ἡ πληθὺς τάχιον τοῦ παραγγέλματος, καὶ πάντες ὡς ἐπ' ἐλευθερίᾳ τῆς μητροπόλεως ἥρπαζον τὰ ὅπλα. ⟨235⟩ συνταχθέντες δ'

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ὑμέτερον πλῆθος καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν ἔστιν οἷος ἔπρεπε καλούσης ὑμᾶς τῆς μητροπόλεως κοινῷ βουλευτηρίῳ συμμάχους κατ' ἀλλοφύλων. τί ἂν οὖν εἴποι τοῦτό τις ἢ τύχης ἐπήρειαν, ὅταν λογάσι πονηροῖς αὔτανδρον ἔθνος δορᾷ συνασπίζον; ⟨244⟩ μέχρι πολλοῦ μὲν ἀπορῶ τί δή ποτε καὶ τὸ κινῆσαν ὑμᾶς οὕτω ταχέως ἐγένετο· μὴ γὰρ ἂν δίχα μεγάλης αἰτίας ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ λῃστῶν καὶ κατὰ δήμου συγγενοῦς. ⟨245⟩ ἐπεὶ δ' ἠκούσαμεν Ῥωμαίους καὶ προδοσίαν (ταῦτα γὰρ ὑμῶν ἐθορύβουν τινὲς ἀρτίως, καὶ τῆς μητροπόλεως ἐπ' ἐλευθερώσει παρεῖναι), πλέον τῶν ἄλλων τολμημάτων ἐθαυμάσαμεν τοὺς ἀλιτηρίους τῆς περὶ τὸ ψεῦδος ἐπινοίας· ⟨246⟩ ἄνδρας γὰρ φύσει φιλελευθέρους, καὶ διὰ τοῦτο μάλιστα τοῖς ἔξωθεν πολεμίοις μάχεσθαι παρεσκευασμένους, οὐκ ἐνῆν ἄλλως ἐξαγριῶσαι καθ' ἡμῶν ἢ λογοποιήσαντας προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. ⟨247⟩ ἀλλ' ὑμᾶς γε χρὴ σκέπτεσθαι τούς τε διαβάλλοντας καὶ καθ' ὧν, συνάγειν τε τὴν ἀλήθειαν οὐκ ἐκ τῶν ἐπιπλάστων λόγων ἀλλ' ἐκ τῶν κοινῶν πραγμάτων. ⟨248⟩ τί γὰρ δὴ καὶ παθόντες ἂν ἡμεῖς Ῥωμαίοις προσεπωλοῦμεν ἑαυτοὺς νῦν, παρὸν ἢ μηδ' ἀποστῆναι τὸ πρῶτον, ἢ προσχωρῆσαι ταχέως ἀποστάντας, ὄντων ἔτι τῶν πέριξ ἀπορθήτων; ⟨249⟩ νῦν μὲν γὰρ οὐδὲ βουλομένοις διαλύσασθαι ῥᾴδιον, ὅτε Ῥωμαίους μὲν ὑπερόπτας πεποίηκεν ὑποχείριος ἡ Γαλιλαία, φέρει δ' αἰσχύνην ἡμῖν θανάτου χαλεπωτέραν τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη πλησίον. ⟨250⟩ κἄγωγε κατ' ἐμαυτὸν μὲν ἂν εἰρήνην προτιμήσαιμι θανάτου, πολεμούμενος δ' ἅπαξ καὶ συμβαλὼν θάνατον εὐκλεᾶ τοῦ ζῆν αἰσχμάλωτος. ⟨251⟩ πότερον δέ φασιν

ἡμᾶς, τοὺς τοῦ δήμου προεστῶτας, πέμψαι κρύφα πρὸς Ῥωμαίους, ἢ καὶ τὸν δῆμον κοινῇ ψηφισάμενον; ⟨252⟩ εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς πεμφθέντας φίλους, τοὺς διακονήσαντας τὴν προδοσίαν οἰκέτας. ἐφωράθη τις ἀπιών; ἀνακομιζόμενος ἑάλω; γραμμάτων γεγόνασιν ἐγκρατεῖς; ⟨253⟩ πῶς δὲ τοὺς μὲν τοσούτους πολίτας ἐλάθομεν, οἷς κατὰ πᾶσαν ὥραν συναναστρεφόμεθα, τοῖς δ' ὀλίγοις καὶ φρουρουμένοις καὶ μηδ' εἰς τὴν πόλιν ἐκ τοῦ ἱεροῦ προελθεῖν δυναμένοις ἐγνώσθη τὰ κατὰ τὴν χώραν λαθραίως ἐνεργούμενα; ⟨254⟩ νῦν δ' ἔγνωσαν ὅτε δεῖ δοῦναι δίκας τῶν τετολμημένων· ἕως δ' ἦσαν ἀδεεῖς αὐτοί, προδότης ἡμῶν οὐδεὶς ὑπωπτεύετο. ⟨255⟩ εἰ δ' ἐπὶ τὸν δῆμον ἀναφέρουσι τὴν αἰτίαν, ἐν φανερῷ δήπουθεν ἐβουλεύσαντο (οὐδεὶς γὰρ ἀπεστάτει τῆς ἐκκλησίας), ὥστε τάχιον ἂν τῆς μηνύσεως ἔσπευσεν ἡ φήμη πρὸς ὑμᾶς φανερωτέρα. ⟨256⟩ τί δ'; οὐχὶ καὶ πρέσβεις ἔδει πέμπειν ψηφισαμένους τὰς διαλύσεις; καὶ τίς ὁ χειροτονηθείς; εἰπάτωσαν. ⟨257⟩ ἀλλὰ τοῦτο μὲν δυσθανατώντων καὶ πλησίον οὔσας τὰς τιμωρίας διαφρουμένων σκῆψίς ἐστιν· εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν εἵμαρτο, μόνους ἂν τολμῆσαι καὶ τοῦτο τοὺς διαβάλλοντας, ὧν τοῖς τολμήμασιν ἓν μόνον λείπει, προδοσία. ⟨258⟩ χρὴ δ' ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ τῶν ὅπλων, τὸ μὲν δικαιότατον, ἀμύνειν τῇ μητροπόλει καὶ συνεξαιρεῖν τοὺς τὰ δικαστήρια καταλύσαντας τυράννους, οἳ πατήσαντες τοὺς νόμους ἐπὶ τοῖς αὑτῶν ξίφεσι πεποίηνται τὰς κρίσεις· ⟨259⟩ ἄνδρας γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης τῆς ἀγορᾶς ἁρπάσαντες δεσμοῖς τε προσηκίσαντο καὶ μηδὲ φωνὴν μηδ' ἱκεσίαν ἀνασχόμενοι διέφθειραν.

⟨260⟩ ἔξεστι δ' ὑμῖν, παρελθοῦσιν εἰσω
νόμῳ, θεάσασθαι τὰ τεκμήρια τῶν λεγομέ
ἠρημωμένους ταῖς ἐκείνων ἁρπαγαῖς, καὶ
γενεὰς τῶν ἀπεσφαγμένων μελανειμονούσα
δὲ καὶ θρῆνον ἀνὰ τὴν πόλιν ὅλην. οὐδε
δς οὐ γέγευται τῆς τῶν ἀνοσίων καταδρο
οἵ γ' ἐπὶ τοσοῦτον ἐξώκειλαν ἀπονοίας
νου ἐκ τῆς χώρας καὶ τῶν ἔξωθεν πόλ
πρόσωπον καὶ τὴν κεφαλὴν ὅλου τοῦ ἔ
νεγκεῖν τὴν λῃστρικὴν τόλμαν, ἀλλὰ καὶ
λεως ἐπὶ τὸ ἱερόν. ⟨262⟩ ὁρμητήριον
τοῦτο καὶ καταφυγὴ ταμιεῖόν τε τῶν ἐφ'
σκευῶν γέγονεν, ὁ δ' ὑπὸ τῆς οἰκουμένης
μενος χῶρος, καὶ τοῖς ἀπὸ περάτων γῆς
ἀκοῇ τετιμημένος, ὑπὸ τῶν παραγενηθέν
θηρίων καταπατεῖται. ⟨263⟩ νεανιεύονται
ἀπογνώσεσιν ἤδη δήμους τε δήμοις καὶ π
συγκρούειν, καὶ κατὰ τῶν ἰδίων σπλάγχνα
στρατολογεῖν. ⟨264⟩ ἀνθ' ὧν τὸ μὲν κά
πρέπον, ὡς ἔφην, ὑμῖν, συνεξαιρεῖν τοὺς
καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυνομένους,
χους ἐτόλμησαν καλεῖν οὓς ἔδει τιμωροὶ
⟨265⟩ εἰ δ' αἰδεῖσθε τὰς τῶν τοιούτων
ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα καὶ π
εἰς τὴν πόλιν σχήματι συγγενῶν ἀναλαβε
συμμάχων τε καὶ πολεμίων ὄνομα, δικασ
νους. ⟨266⟩ καίτοι λογίσασθε πόσον
ὁμολογουμένοις καὶ τηλικούτοις κριν
οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ λόγου
κνέτωσαν δ' οὖν ταύτην ἐκ τῆς ὑμ
τὴν χάριν. ⟨267⟩ εἰ δ' οὔτε συναγα

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

μελε καὶ προσίστατο τὰ πραττόμενα. ⟨346⟩ *συναγα-*
γὼν δ' αὐτούς τις ἀπὸ τῶν ζηλωτῶν κατ' ἰδίαν ἐλ-
θὼν ἐνεδείκνυτο τὰ συμπαρανομηθέντα τοῖς καλέσασι, 15
καὶ τὰ κατὰ τῆς μητροπόλεως διεξῄει· ⟨347⟩ *παρα-*
γενέσθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων προδιδομέ-
νης Ῥωμαίοις τῆς μητροπόλεως, εὑρηκέναι δὲ προδο-
σίας μὲν τεκμήριον οὐδέν, τοὺς δ' ἐκείνην ὑποχρινο-
μένους φυλάττεσθαι πολέμου καὶ τυραννίδος ἔρ- 20
τολμῶντας. ⟨348⟩ *προσῆκειν μὲν οὖν αὐτοῖς διακω-*
λύειν ἀπ' ἀρχῆς· ἐπειδὴ δ' ἅπαξ εἰς κοινωνίαν ἐμφυ-
λίου φόνου προύπεσον, ὅρον γοῦν ἐπιθεῖναι τοῖς
ἁμαρτήμασι, καὶ μὴ παραμένειν χορηγοῦντας ἰσχὺν
τοῖς καταλύουσι τὰ πάτρια. ⟨349⟩ *καὶ γὰρ εἴ τινες* 25
χαλεπαίνουσι τῷ κλεισθῆναι τὰς πύλας καὶ μὴ δοθῆ-
ναι μετὰ τῶν ὅπλων αὐτοῖς ἑτοίμην τὴν εἴσοδον, ἀλλὰ
τοὺς εἴρξαντας τετιμωρῆσθαι, καὶ τεθνάναι μὲν Ἄνα-
νον, διεφθάρθαι δ' ἐπὶ μιᾶς νυκτὸς ὀλίγου δεῖν
πάντα τὸν δῆμον. ⟨350⟩ *ἐφ' οἷς τῶν μὲν οἰκείων* 30
πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικαλεσα-

μένων δ' δρᾶν ἄμετρον τὴν ὠμότητα, μηδὲ δι' οὓς ἐσώθησαν αἰδουμένων. ⟨351⟩ ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανομίας Ἰδουμαίοις προσάπτεσθαι, μέχρι ἂν μήτε κωλύῃ τις μήτε χωρίζηται τῶν δρωμένων. ⟨352⟩ δεῖν οὖν, ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ τῆς προδοσίας, ἔφοδος δὲ Ῥωμαίων οὐδεμία προσδοκᾶται, δυναστεία τ' ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος, αὐτοὺς ἀναχωρεῖν ἐπ' οἴκου, καὶ τῷ μὴ κοινωνεῖν τοῖς φαύλοις ἁπάντων ἀπολογήσασθαι πέρι, ὧν φενακισθέντες μετάσχοιεν.

⟨353⟩ τούτοις δὲ πεισθέντες οἱ Ἰδουμαῖοι πρῶτον 6
μὲν λύουσι τοὺς ἐν τοῖς δεσμωτηρίοις, περὶ δισχιλίους δημότας· οἳ παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σίμωνα, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· ἔπειτ' ἐκ τῶν Ἱεροσολύμων ἀνεχώρησαν ἐπ' οἴκου. ⟨354⟩ καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παρὰ δόξαν ἀμφοτέροις· ὅ τε γὰρ δῆμος ἀγνοῶν τὴν μετάνοιαν ἀνεθάρρησε πρὸς ὀλίγον ὡς ἐχθρῶν κεκουφισμένος, ⟨355⟩ οἵ τε ζηλωταὶ μᾶλλον ἐπανέστησαν, οὐχ ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ ἐπηλλαγμένοι τῶν δυσωπούντων καὶ διατρεπόντων παρανομεῖν. ⟨356⟩ οὐκέτι γοῦν μέλλησις ἦ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον τῆς ἐπινοίας ἐνήργουν. ⟨357⟩ μάλιστα δ' ἐπ' ἀνδρείαν τε καὶ εὐγένειαν ἐφόνων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον δέει· μόνην γὰρ αὐτῶν ἀσφάλειαν ὑπελάμβανον τὸ μηδένα τῶν δυνατῶν καταλιπεῖν. ⟨358⟩ ἀνῃρέθη γοῦν σὺν πολλοῖς ἑτέροις καὶ Γωρίων, ἀξιώματι μὲν καὶ γένει προύχων, δημοκρατικὸς δὲ καὶ

φρονήματος ἐλευθερίου μεστός, εἰ καί τις ἕτερος Ἰουδαίων. ἀπώλεσε δ' αὐτὸν ἡ παρρησία μάλιστα πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. ⟨359⟩ οὐδ' ὁ Περαίτης Νίγερ αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς Ῥωμαίους πολέμοις γενόμενος, ὃς καὶ βοῶν πολλάκις τάς τ' ὠτειλὰς ἐπιδεικνὺς διὰ μέσης ἐσύρετο τῆς πόλεως. ⟨360⟩ ἐπεὶ δ' ἔξω τῶν πυλῶν ἦκτο, τὴν σωτηρίαν ἀπογνοὺς περὶ ταφῆς ἱκέτευεν· οἳ δὲ προαπειλήσαντες ἧς ἐπεθύμει μάλιστα γῆς μὴ μεταδώσειν αὐτῷ, τὸν φόνον ἐνήργουν. ⟨361⟩ ἀναιρούμενος δ' ὁ Νίγερ τιμωροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας· ⟨362⟩ ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ θεός, καὶ τὸ δικαιότατον, ὅτι γεύσεσθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς μακρὰν στασιάσαντες. ⟨363⟩ Νίγερ μὲν οὖν ἀνῃρημένος τοὺς περὶ τῆς καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε, τοῦ λαοῦ δὲ μέρος οὐδὲν ἦν ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις. ⟨364⟩ τὸ μὲν γὰρ αὐτῶν διενεχθέν τινι πάλαι διέφθαρτο, τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρήνην ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας· καὶ ὁ μὲν μηδ' ὅλως αὐτοῖς προσιὼν ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας ὡς καταφρονῶν, ὁ θεραπεύων δ' ὡς ἐπίβουλος ὑπωπτεύετο. ⟨365⟩ μία δ' ἦν τῶν τε μεγίστων καὶ τῶν μετριωτάτων ἐγκλημάτων τιμωρία, θάνατος· καὶ διέφυγεν οὐδείς, εἰ μή σφόδρα τις ἦν ταπεινὸς ἢ δι' ἀγένειαν ἢ διὰ τύχην.

2 ⟨366⟩ Ῥωμαίων δ' οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες ἕρμαιον ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων ὥρμηντο πρὸς τὴν πόλιν, καὶ τὸν Οὐεσπασιανὸν ἤπειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι πρόνοιαν θεοῦ σύμ-

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

ὑπέρθεσιν ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ διχονοίᾳ τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν ὧν ἂν ἐπελθόντες αὐτοὶ διαθεῖεν αὐτοὺς ἁλόντας. ⟨376⟩ εἶτ' οὖν τἀσφαλές τις σκοποίη, χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἑᾶν, εἴτε τὸ εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἴκοι νοσοῦσιν ἐπιχειρεῖν· ῥηθήσεσθαι γὰρ εὐλόγως οὐκ αὐτῶν τὴν νίκην ἀλλὰ τῆς στάσεως.

3 ⟨377⟩ ταῦτα Οὐεσπασιανῷ λέγοντι συνήνουν οἱ ἡγεμόνες, καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο. πολλοὶ γὰρ καθ' ἡμέραν ηὐτομόλουν, τοὺς ζηλωτὰς διαδιδράσκοντες. ⟨378⟩ χαλεπὴ δ' ἦν ἡ φυγή, φρουραῖς διειλημμένων τὰς διεξόδους πάσας, καὶ τὸν ἐν αὐταῖς ὁπωσοῦν ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀπιόντα διαχρωμένων. ⟨379⟩ ὅ γε μὴν χρήματα δοὺς ἐξηφίετο, καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης. ὥστε κατελείπετο, τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων, μόνους ἐναποσφάττεσθαι τοὺς πένητας. ⟨380⟩ νεκροὶ δὲ κατὰ τὰς λεωφόρους πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὡρμημένων αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ᾑροῦντο· τὸν γὰρ ἐπὶ τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον. ⟨381⟩ οἳ δ' εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς, ⟨382⟩ ἀλλὰ καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους, ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασι συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ' ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. ⟨383⟩ τοῖς δὲ θάπτουσί τινα τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν, ἐπιτίμιον θάνατος ἦν, καὶ δεῖσθαι παραχρῆμα

ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον. ⟨384⟩ καθόλου τ' εἰπεῖν, οὐδὲν οὕτως ἀπωλώλει χρηστὸν πάθος ἐν ταῖς τότε συμφοραῖς ὡς ἔλεος. ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε τοὺς ἁλιτηρίους, κἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνῃρημένους, ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον. ⟨385⟩ καὶ δι' ὑπερβολὴν δέους ὁ περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν, οἵ τ' ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι κατὰ σύγκρισιν καὶ τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. ⟨386⟩ κατεπατεῖτο μὲν οὖν πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν προφητῶν χρησμοὺς ὥσπερ ἀγυρτικὰς λογοποιίας ἐχλεύαζον. ⟨387⟩ πολλὰ δ' οὗτοι περὶ ἀρετῆς καὶ κακίας προυθέσπισαν, ἃ παραβάντες οἱ ζηλωταὶ καὶ τὴν κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν. ⟨388⟩ ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν ἐνθέων, τότε τὴν πόλιν ἁλῶσεσθαι καὶ καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στάσις ὅταν κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ τέμενος· οἷς οὐκ ἀπιστήσαντες οἱ ξηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδοσαν.

⟨389⟩ ἤδη δὲ Ἰωάννῃ τυραννιῶντι τὸ πρὸς τοὺς 7
ὁμοίους ἰσότιμον ἠδοξεῖτο, καὶ κατ' ὀλίγους προσποιούμενος τῶν πονηροτέρων ἀφηνίαξε τοῦ συντάγματος. ⟨390⟩ ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δ' αὑτοῦ προστάττων δεσποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. ⟨391⟩ εἶκον δ' αὐτῷ τινὲς μὲν δέει, τινὲς δὲ κατ' εὔνοιαν (δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ δόλῳ προσάγεσθαι), πολλοὶ δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὑτῶν τὰς αἰτίας ἤδη τῶν τολμωμένων ἐφ' ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. ⟨392⟩

τό γε μὴν δραστήριον αὐτοῦ κατά τε χεῖρα καὶ γνώμην δορυφόρους εἶχεν οὐκ ὀλίγους. ⟨393⟩ π δὲ μοῖρα τῶν ἀντικαθημένων ἀπελείπετο, παρ' ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων ὑποτετά τῷ πρὶν ἰσοτίμῳ, τὸ πλέον δ' εὐλάβεια τῆς μ χίας ἀπέτρεπεν. ⟨394⟩ οὔτε γὰρ καταλύσειν ῥᾳ ἤλπιζον αὐτὸν ἅπαξ κρατήσαντα, καὶ καθ' ἑα πρόφασιν ἔξειν τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι· προ δὲ [ἢ] πολεμῶν ἕκαστος ὁτιοῦν παθεῖν ἢ δουλε ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. ⟨ διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ τούτων, καὶ τοῖς τιωθεῖσιν Ἰωάννης ἀντεβασίλευεν. ⟨396⟩ ἀλλ μὲν πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ ο ἢ μικρόν, εἴ ποτε, διηκροβολίζοντο τοῖς ὅπλοις· ξον δὲ κατὰ τοῦ δήμου, καὶ πότεροι πλείονα ἄξουσιν ἀντεφιλονίκουν. ⟨397⟩ ἐπεὶ δ' ἡ πόλις τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, πολέμῳ καὶ τι νίδι καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν δημοτικοῖς ὁ πόλεμος. ἀμέλει διαδιδράσκοντες ἐκ οἰκείων ἔφευγον πρὸς τοὺς ἀλλοφύλους, καὶ Ῥωμαίοις ἧς ἀπήλπισαν ἐν τοῖς ἰδίοις σωτηρίας οὗντο.

2 ⟨398⟩ τέταρτον δ' ἄλλο κακὸν ἐκινεῖτο πρὸς τοῦ ἔθνους κατάλυσιν. ⟨399⟩ φρούριον ἦν οὐ π Ἱεροσολύμων καρτερώτατον, ὑπὸ τῶν ἀρχαίων λέων εἷς θ' ὑπέκθεσιν κτήσεως ἐν πολέμου ῥ καὶ σωμάτων ἀσφάλειαν κατεσκευασμένον, ὃ ἐκα Μασάδα. ⟨400⟩ τοῦτο κατειληφότες οἱ προσαγο μενοι σικάριοι τέως μὲν τὰς πλησίον χώρας κατ χον, οὐδὲν πλέον τῶν ἐπιτηδείων ποριζόμενοι· γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς. ⟨401⟩

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

3 ⟨410⟩ ταῦτα Ἡσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλλετο. καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἁπάσας καὶ διαφθειρόντων τοὺς ὁπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάνθανον καὶ καταφεύγοντες εἰς τοὺς Ῥωμαίους τὸν στρατηγὸν ἐνῆγον ἀμῦναι τῇ πόλει καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα· ⟨411⟩ διὰ γὰρ τὴν πρὸς Ῥωμαίους εὔνοιαν ἀνῃρῆσθαί τε τοὺς πολλοὺς καὶ κινδυνεύειν τοὺς περιόντας. ⟨412⟩ ὁ δ' οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν τῷ μὲν δοκεῖν ἐκπολιορκήσων ἀνίσταται τὰ Ἱεροσόλυμα, τὸ δ' ἀληθὲς ἀπαλλάξων πολιορκίας. ⟨413⟩ ἔδει δὲ προκαταστρέψασθαι τὰ λειπόμενα καὶ μηδὲν ἔξωθεν ἐμπόδιον τῇ πολιορκίᾳ καταλιπεῖν. ἐλθὼν γοῦν ἐπὶ τὰ Γάδαρα μητρόπολιν τῆς Περαίας καρτεράν, τετράδι Δύστρου μηνὸς εἴσεισιν εἰς τὴν πόλιν. ⟨414⟩ καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ λάθρᾳ τῶν στασιωδῶν πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παραδόσεως πόθῳ τ' εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ τὰ Γάδαρα κατῴκουν πλούσιοι. ⟨415⟩ τούτων τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ διάφοροι, πλησίον δ' ἤδη ὄντος Ἡσπασιανοῦ διεπύθοντο. καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι, τῶν τ' ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως· φεύγειν δὲ κρίναντες ἠδόξουν ἀναιμωτὶ καὶ μηδεμίαν παρὰ τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. ⟨416⟩ συλλαβόντες δὴ τὸν Δόλεσον (οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πόλεως πρῶτος, ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος) κτείνουσί τ' αὐτόν, καὶ δι' ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενοι διέδρασαν ἐκ τῆς πόλεως. ⟨417⟩ ἐπιούσης δ' ἤδη τῆς Ῥωμαϊκῆς δυνάμεως ὅ τε δῆμος τῶν Γα-

δάρων, μετ' εὐφημίας τὸν Οὐεσπασιανὸν εἰσδεξάμενοι, δεξιὰς παρ' αὐτοῦ πίστεως ἔλαβον καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν πρὸς τὰς τῶν φυγάδων καταδρομάς· ⟨418⟩ τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι Ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν τὸ μηδὲ βουληθέντας δύνασθαι πολεμεῖν.

⟨419⟩ Οὐεσπασιανὸς δ' ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν Γαδάρων Πλάκιδον σὺν ἵπποις πεντακοσίοις καὶ πεζοῖς τρισχιλίοις πέμπει, μετὰ δὲ τῆς ἄλλης στρατιᾶς αὐτὸς ὑπέστρεψεν εἰς Καισάρειαν. ⟨420⟩ οἱ δὲ φυγάδες ὡς αἰφνίδιον τοὺς διώκοντας ἵπποις ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν, εἴς τινα κώμην συνειλοῦνται Βηθενναβρὶν προσαγορευομένην. ⟨421⟩ ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες, καὶ τοὺς μὲν ἐκόντας τοὺς δὲ βίᾳ καθοπλίσαντες εἰκαίως, προπηδῶσιν ἐπὶ τοὺς περὶ τὸν Πλάκιδον. ⟨422⟩ οἳ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν ὀλίγον εἶξαν, ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω· ⟨423⟩ λαβόντες δ' εἰς ἐπιτήδειον (τόπον) περιήλαυνόν τε καὶ κατηκόντιζον, καὶ τοὺς μὲν φυγάδας αὐτῶν οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμπλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρον. ⟨424⟩ οὐ μέντοι πλέον τι τόλμης ἐπιδεικνύμενοι οἱ Ἰουδαῖοι διεφθείροντο· πεπυκνωμένοις γὰρ προσπίπτοντες τοῖς Ῥωμαίοις, καὶ ταῖς πανοπλίαις ὥσπερ τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν οὐδ' ἠὐτόνουν ῥῆξαι τὴν φάλαγγα, ⟨425⟩ περιεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι, καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις ὥρμων ἐπὶ τὸν σίδηρον. διεφθείροντο δ' οἳ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἳ δ' ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι· ⟨426⟩ σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ

τὰς ἐπὶ τὴν κώμην ὁρμὰς αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ᾽ ἐκεῖνο τὸ μέρος, ⟨427⟩ ἔπειτ᾽ ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι χρώμενος εὐστόχως ἀνῄρει τοὺς πλησιάζοντας καὶ δέει τοὺς πόρρωθεν ἀνέστρεφε, μέχρι βίᾳ διεκπαίοντες οἱ γενναιότατοι πρὸς τὸ τεῖχος διέφυγον. ⟨428⟩ ἀπορία δ᾽ εἶχε τοὺς φύλακας· οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων ὑπέμενον διὰ τοὺς σφετέρους, καὶ δεξάμενοι συναπολεῖσθαι προσεδόκων. ὃ δὴ καὶ συνέβη· ⟨429⟩ συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος παρ᾽ ὀλίγον μὲν οἱ τῶν Ῥωμαίων ἱππεῖς συνεισέπεσον, οὐ μὴν ἀλλὰ καὶ φθασάντων ἀποκλεῖσαι τὰς πύλας προσβαλὼν ὁ Πλάκιδος, καὶ μέχρι δείλης γενναίως ἀγωνισάμενος, τοῦ τείχους καὶ τῶν ἐν τῇ κώμῃ ἐκράτει. ⟨430⟩ τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο, φυγὴ δ᾽ ἦν τῶν δυνατωτέρων, τὰς δ᾽ οἰκίας οἱ στρατιῶται διήρπασαν καὶ τὴν κώμην ἐνέπρησαν. ⟨431⟩ οἱ δὲ διαδράντες ἐξ αὐτῆς τοὺς κατὰ τὴν χώραν συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον, τὴν δὲ Ῥωμαίων στρατιὰν πᾶσαν ἐπιέναι λέγοντες, πάντας πανταχόθεν ἐξέσεισαν τῷ δέει. γενόμενοί τε παμπληθεῖς ἔφευγον ἐπὶ Ἰεριχοῦντος· ⟨432⟩ αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σωτηρίας, καρτερὰ τείχει τε καὶ πλήθει οἰκητόρων τυγχάνουσα. ⟨433⟩ Πλάκιδος δὲ τοῖς ἱππεῦσι καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς εἵπετο, καὶ μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους ἀνῄρει, συνελάσας δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος, εἰργομένοις ὑπὸ τοῦ ῥεύματος (τραφὲν γὰρ ὑπ᾽ ὄμβρων ἄβατον ἦν), ἀντικρὺ παρετάττετο. ⟨434⟩ παρώξυνε δ᾽ ἡ ἀνάγκη πρὸς μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχον-

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

φιεῖν ᾤετο τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. ⟨442⟩ ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμών, τὰς ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς, δεκαδάρχας μὲν κώμαις ἐγκαθιστὰς ἑκατοντάρχας δὲ πόλεσι· πολλὰ δ' ἀνῴκιξε καὶ τῶν πεπορθημένων. ⟨443⟩ ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως, ἦγαγεν ἀπὸ τῆς Καισαρείας ἐπ' Ἀντιπατρίδος, ἔνθα δυσὶν ἡμέραις καταστησάμενος τὴν πόλιν, τῇ τρίτῃ προῆει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. ⟨444⟩ καταστρεψάμενος δὲ τὰ περὶ τὴν Θαμνᾶ τοπαρχίαν, ἐπὶ Λύδδων καὶ Ἰαμνείας ἐχώρει, καὶ προκεχειρωμέναις ἑκατέραις ἐγκαταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς εἰς Ἀμμαοῦντα ἀφικνεῖται. ⟨445⟩ καταλαβόμενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς στρατόπεδόν τε τειχίζει, καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόεισι μετὰ τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν Βεθλεπτηφῶν τοπαρχίαν. ⟨446⟩ πυρὶ δ' αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνελών, καὶ τὰ πέριξ τῆς Ἰδουμαίας φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε· ⟨447⟩ καταλαβόμενος δὲ δύο κώμας τὰς μεσαιτάτας τῆς Ἰδουμαίας, Βήταριν καὶ Καφάρτοβαν, κτείνει μὲν ὑπὲρ μυρίους αἰχμαλωτίζεται δ' ὑπὲρ χιλίους, ⟨448⟩ καὶ τὸ λοιπὸν πλῆθος ἐξελάσας ἐγκαθίστησι τῆς ἰδίας δυνάμεως οὐκ ὀλίγην, οἳ κατατρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. ⟨449⟩ αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Ἀμμαοῦντα, ὅθεν διὰ τῆς Σαμαρείτιδος καὶ παρὰ τὴν Νέαν πόλιν καλουμένην, Μαβορθὰ δ' ὑπὸ τῶν ἐπιχωρίων, καταβὰς εἰς Κορέαν δευτέρᾳ Δαισίου μηνὸς στρατοπεδεύεται. ⟨450⟩ τῇ δ' ἑξῆς εἰς Ἱεριχοῦντα ἀφικνεῖται, καθ' ἣν αὐτῷ συμμίσγει Τραϊανὸς εἷς τῶν ἡγεμόνων, τὴν ἐκ

τῆς Περαίας ἄγων δύναμιν, ἤδη τῶν ὑπὲρ τὸν Ἰορδάνην κεχειρωμένων.

〈451〉 τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς Ἱεριχοῦντος φθάσαν τὴν ἔφοδον αὐτῶν εἰς τὴν ἄντικρυς Ἱεροσολύμων ὀρεινὴν διαπεφεύγει, καταλειφθὲν δ' οὐκ ὀλίγον διαφθείρεται. 〈452〉 τὴν δὲ πόλιν ἔρημον κατειλήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψιλὸν δ' ὑπέρκειται αὐτῆς καὶ ἄκαρπον ὄρος μήκιστον. 〈453〉 κατὰ μὲν γὰρ τὸ βόρειον κλῖμα μέχρι τῆς Σκυθοπολιτῶν γῆς ἐκτείνεται, κατὰ δὲ τὸ μεσημβρινὸν μέχρι τῆς Σοδομιτῶν χώρας καὶ τῶν περάτων τῆς Ἀσφαλτίτιδος, ἔστι δ' ἀνώμαλόν τε πᾶν καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. 〈454〉 ἀντίκειται δὲ τούτῳ τὸ περὶ τὸν Ἰορδάνην ὄρος, ἀρχόμενον ἀπὸ Ἰουλιάδος καὶ τῶν βορείων κλιμάτων, παρατεῖνον δ' εἰς μεσημβρίαν ἕως Σομόρρων, ἥπερ ὁρίζει τὴν Πέτραν τῆς Ἀραβίας. ἐν τούτῳ δ' ἔστι καὶ τὸ Σιδηροῦν καλούμενον ὄρος, μηκυνόμενον μέχρι τῆς Μωαβίτιδος. 〈455〉 ἡ μέση δὲ τῶν δύο ὀρέων χώρα τὸ Μέγα Πεδίον καλεῖται, ἀπὸ κώμης Γιναβρὶν διῆκον μέχρι τῆς Ἀσφαλτίτιδος λίμνης. 〈456〉 ἔστι δ' αὐτοῦ μῆκος μὲν σταδίων χιλίων διακοσίων, εὖρος δ' εἴκοσι καὶ ἑκατόν· καὶ μέσον ὑπὸ τοῦ Ἰορδάνου τέμνεται, λίμνας τ' ἔχει τήν τ' Ἀσφαλτῖτιν καὶ τὴν Τιβεριέων, φύσιν ἐναντίας· ἡ μὲν γὰρ ἁλμυρώδης καὶ ἄγονος, ἡ Τιβεριέων δὲ γλυκεῖα καὶ γόνιμος. 〈457〉 ἐκπυροῦται δ' ὥρᾳ θέρους τὸ πεδίον, καὶ δι' ὑπερβολὴν αὐχμοῦ περιέχει νοσώδη τὸν ἀέρα· 〈458〉 πᾶν γὰρ ἄνυδρον πλὴν τοῦ Ἰορδάνου, παρὸ καὶ τοὺς μὲν ἐπὶ ταῖς ὄχθαις φοινικῶνας εὐθαλεστέρους καὶ πολυφορωτέρους εἶναι συμβέβηκεν, ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους.

3 ⟨459⟩ παρὰ μέντοι τὴν Ἰεριχοῦντα ἔστι πηγὴ δαψιλής τε καὶ πρὸς ἀρδείας λιπαρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύζουσα πόλιν, ἣν Ἰησοῦς ὁ Ναυῆ παῖς, στρατηγὸς Ἑβραίων, πρώτην εἶλε γῆς Χαναναίων δορίκτητον. ⟨460⟩ ταύτην τὴν πηγὴν λόγος ἔχει κατ' ἀρχὰς οὐ μόνον γῆς καὶ δένδρων καρποὺς ἀπαμβλύνειν ἀλλὰ καὶ γυναικῶν γονάς, καθόλου τε πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικήν, ἐξημερωθῆναι δὲ καὶ γενέσθαι τοὐναντίον ὑγιεινοτάτην τε καὶ γονιμωτάτην ὑπὸ Ἐλισσαίου τοῦ προφήτου. γνώριμος δ' ἦν οὗτος Ἠλία καὶ διάδοχος, ⟨461⟩ ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν Ἰεριχοῦντα, περιττὸν δή τι φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων, αὐτούς τ' ἀμείβεται καὶ τὴν χώραν αἰωνίῳ χάριτι ἐδωρήσατο. ⟨462⟩ προελθὼν γὰρ ἐπὶ τὴν πηγὴν καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν ἀγγεῖον κεραμοῦν, ἔπειτ' εἰς οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν κἀπὶ γῆς σπονδὰς μειλιχτηρίους χεάμενος, τὴν μὲν ἠτεῖτο μαλάξαι τὸ ῥεῦμα καὶ γλυκυτέρας φλέβας ἀνοῖξαι, ⟨463⟩ τὸν δ' ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί θ' ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις καὶ τέκνων διαδοχήν, μηδ' ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννητικὸν ὕδωρ, ἕως μενοῦσι δίκαιοι. ⟨464⟩ ταύταις ταῖς εὐχαῖς, πολλὰ προσχειρουργήσας ἐξ ἐπιστήμης, ἔτρεψε τὴν πηγήν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ λιμοῦ παραίτιον ὕδωρ ἐκ τότ' εὐτεκνίας καὶ κόρου χορηγὸν κατέστη. ⟨465⟩ τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν ὡς εἰ καὶ μόνον ἐφάψαιτο τῆς χώρας, νοστιμώτερον εἶναι τῶν μέχρι κόρου χρονιζόντων. ⟨466⟩ παρὸ καὶ τῶν μὲν δαψιλέστερον χρωμένων ἡ ὄνησίς ἐστιν ὀλίγη, τούτου δὲ τοῦ ὀλίγου ἡ χορηγία δαψιλής.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

〈475〉 ἀλλὰ τὰ μὲν περὶ τὴν Ἰεριχοῦν εὐδαιμονεστάτην οὖσαν ἀποχρώντως δεδήλωται. 〈476〉 ἄξιον δ' ἀφηγήσασθαι καὶ τὴν φύσιν τῆς Ἀσφαλτίτιδος λίμνης, ἥτις ἐστὶ πικρὰ μέν, ὡς ἔφην, καὶ ἄγονος, ὑπὸ δὲ κουφότητος καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δ' εἰς τὸν βυθὸν οὐδ' ἐπιτηδεύσαντα ῥᾴδιον. 〈477〉 ἀφικόμενος γοῦν καθ' ἱστορίαν ἐπ' αὐτὴν Οὐεσπασιανὸς ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων, δεθέντας ὀπίσω τὰς χεῖρας, ῥιφῆναι κατὰ τοῦ βυθοῦ· καὶ συνέβη πάντας ἐπινήξασθαι, καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. 〈478〉 ἔστι δ' ἐπὶ τούτῳ καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος· τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάττεται, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως. 〈479〉 τῆς μέντοι ἀσφάλτου κατὰ πολλὰ μέρη βώλους μελαίνας ἀναδίδωσιν. αἳ δ' ἐπινήχονται τό τε σχῆμα καὶ τὸ μέγεθος ταύροις ἀκεφάλοις παραπλήσιαι. 〈480〉 προσελαύνοντες δ' οἱ τῆς λίμνης ἐργάται, καὶ δραττόμενοι τοῦ συνεστῶτος, ἕλκουσιν εἰς τὰ σκάφη· πληρώσασι δ' ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ διὰ εὐτονίαν προσήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως ἂν ἐμμηνίῳ γυναικῶν αἵματι καὶ οὔρῳ διαλύσωσιν αὐτήν, οἷς μόνοις εἴκει. 〈481〉 καὶ χρήσιμος δ' οὐ μόνον εἰς ἁρμονίας νεῶν ἀλλὰ καὶ πρὸς ἄκεσιν σωμάτων· εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. 〈482〉 ταύτης τῆς λίμνης μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι στάδιοι, καθ' ὃ δὴ μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ ἑκατόν. 〈483〉 γειτνιᾷ δ' ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῇ καρπῶν θ' ἕνεκα καὶ τῆς κατὰ πόλεις περιουσίας, νῦν δὲ κεκαυμένη πᾶσα. 〈484〉 φασὶ δ'

ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς κατεφλέγη· ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρός, καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς, ἔτι δὲ κἀν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν.

〈485〉 τὰ μὲν δὴ περὶ τὴν Σοδομῖτιν μυθευόμενα τοιαύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως· 〈486〉 ὁ δὲ Οὐεσπασιανὸς πανταχόθεν περιτειχίζων τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔν τε τῇ Ἱεριχοῖ κἀν Ἀδίδοις ἐγείρει στρατόπεδα, καὶ φρουροὺς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε τοῦ Ῥωμαϊκοῦ καὶ συμμαχικοῦ τάγματος. 〈487〉 πέμπει δὲ καὶ εἰς Γέρασα Λούκιον Ἄννιον, παραδοὺς μοῖραν ἱππέων καὶ συχνοὺς πεζούς. 〈488〉 ὃ μὲν οὖν ἐξ ἐφόδου ἑλὼν τὴν πόλιν ἀποκτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν, γενεὰς δ' ἠχμαλωτίσατο, καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν· ἔπειτα τὰς οἰκίας ἐμπρήσας ἐπὶ τὰς πέριξ κώμας ἐχώρει. 〈489〉 φυγαὶ δ' ἦσαν τῶν δυνατῶν καὶ φθοραὶ τῶν ἀσθενεστέρων· τὸ καταλειφθὲν δὲ πᾶν ἐνεπίμπρατο. 〈490〉 καὶ διειληφότος τοῦ πολέμου τήν τ' ὀρεινὴν ὕλην καὶ τὴν πεδιάδα, πάσας οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο· τοὺς μὲν γὰρ αὐτομολεῖν προαιρουμένους οἱ ξηλωταὶ παρεφυλάττοντο, τοὺς δ' οὔπω τὰ Ῥωμαίων φρονοῦντας εἶργεν ἡ στρατιά, πανταχόθεν τὴν πόλιν περιέχουσα.

〈491〉 Οὐεσπασιανῷ δ' εἰς Καισάρειαν ἐπιστρέψαντι, καὶ παρασκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτῶν τῶν Ἱεροσολύμων ἐξελαύνειν, ἀγγέλλεται Νέρων ἀνῃρημένος, τριακαίδεκα βασιλεύσας ἔτη καὶ ἡμέρας

ὀκτώ. ⟨492⟩ περὶ οὗ λέγειν ὃν τρόπον εἰς τὴν ἀρχὴν ἐξύβρισε, πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς τ' ἀναξίοις τῶν ἐξελευθέρων, ⟨493⟩ καὶ ὡς ὑπὸ τούτων ἐπιβουλευθεὶς κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέτρασι τῶν πιστῶν ἀπελευθέρων ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλε, καὶ ὡς οἱ καταλύσαντες αὐτὸν μετ' οὐ πολὺν χρόνον δίκας ἔδοσαν, ⟨494⟩ τόν τε κατὰ τὴν Γαλατίαν πόλεμον ὡς ἐτελεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἰσπανίας, καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιαθεὶς ἐπὶ ταπεινοφροσύνῃ ἐδολοφονήθη κατὰ μέσην τὴν Ῥωμαίων ἀγοράν, ἀπεδείχθη τ' αὐτοκράτωρ Ὄθων, ⟨495⟩ τήν τε τούτου στρατείαν ἐπὶ τοὺς Ὀυιτελλίου στρατηγοὺς καὶ κατάλυσιν, ἔπειτα τοὺς κατὰ Ὀυιτέλλιον ταράχους, καὶ τὴν περὶ τὸ Καπετώλιον συμβολήν, ὅπως τ' Ἀντώνιος Πρῖμος καὶ Μουκιανός, διαφθείραντες Ὀυιτέλλιον καὶ τὰ Γερμανικὰ τάγματα, κατέστειλαν τὸν ἐμφύλιον πόλεμον, — ⟨496⟩ πάντα ταῦτα διεξιέναι μὲν ἐπ' ἀκριβὲς παρῃτησάμην, ἐπειδὴ δι' ὅλου πᾶσίν ἐστι καὶ πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται, συναφείας δ' ἕνεκα τῶν πραγμάτων καὶ τοῦ μὴ διηρτῆσθαι τὴν ἱστορίαν κεφαλαιωδῶς ἕκαστον ἐπεσημηνάμην. ⟨497⟩ Ὀεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον ἀνεβάλλετο τὴν τῶν Ἱεροσολύμων στρατείαν, καραδοκῶν πρὸς τίνα δέψει τὸ κρατεῖν μετὰ Νέρωνα· ⟨498⟩ αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί τι περὶ τοῦ πολέμου κἀκεῖνον, οὐκ ἐπεχείρει, πέμπει δὲ πρὸς αὐτὸν τὸν υἱὸν Τίτον ἀσπασόμενόν τε καὶ ληψόμενον τὰς περὶ Ἰουδαίων ἐντολάς. διὰ δὲ τὰς αὐτὰς αἰτίας ἅμα Τίτῳ

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

μενος, ἐπειδὴ καὶ τὴν Ἀνάνου τελευτὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις μὲν ἐλευθερίαν, γέρας δ' ἐλευθέροις, τοὺς πανταχόθεν πονηροὺς συνήθροιζεν. ⟨509⟩ ὡς δ' ἦν αὐτῷ καρτερὸν ἤδη τὸ σύνταγμα, τὰς ἀνὰ τὴν ὀρεινὴν κώμας κατέτρεχεν· ἀεὶ δὲ προσγιγνομένων πλειόνων, ἐθάρρει καταβαίνειν εἰς τὰ χθαμαλώτερα. ⟨510⟩ κἀπειδὴ πόλεσιν ἤδη φοβερὸς ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν καὶ τὴν εὔροιαν τῶν κατορθωμάτων προσεφθείροντο δυνατοί· καὶ οὐκέτ' ἦν δούλων μόνον οὐδὲ λῃστῶν στρατός, ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων, ὡς πρὸς βασιλέα πειθαρχούντων. ⟨511⟩ κατέτρεχε δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν καὶ τὰ μέχρι τῆς μεγάλης Ἰδουμαίας. κατὰ γὰρ κώμην τινὰ καλουμένην Ἂϊν τεῖχος κατασκευάσας ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο· ⟨512⟩ κατὰ δὲ τὴν Φαρὰν προσαγορευομένην φάραγγα πολλὰ μὲν ἀνευρύνας σπήλαια πολλὰ δ' εὑρὼν ἕτοιμα, ταμιείοις ἐχρῆτο θησαυρῶν καὶ τῆς λείας ἐκδοχείοις. ⟨513⟩ ἀνετίθει δὲ καὶ τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρπούς, οἵ τε πολλοὶ τῶν λόχων δίαιταν εἶχον ἐν ἐκείνοις. δῆλος δ' ἦν τό τε σύνταγμα προγυμνάζων καὶ τὰς παρασκευὰς κατὰ τῶν Ἱεροσολύμων.

⟨514⟩ ὅθεν οἱ ξηλωταὶ δείσαντες αὐτοῦ τὴν ἐπιβουλήν, καὶ προλαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον, ἐξίασι μετὰ τῶν ὅπλων οἱ πλείους. ὑπαντιάζει δὲ Σίμων, καὶ παραταξάμενος συχνοὺς μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοιποὺς εἰς τὴν πόλιν. ⟨515⟩ οὔπω δὲ θαρρῶν τῇ δυνάμει τοῦ μὲν τοῖς τείχεσι προσβαλεῖν ἀπετράπη, χειρώσασθαι δὲ πρότερον τὴν Ἰδουμαίαν ἐπεβάλετο. καὶ δὴ δισμυ-

ρίους ἔχων ὁπλίτας ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. ⟨516⟩ οἱ δ' ἄρχοντες τῶν Ἰδουμαίων κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ μαχιμώτατον, περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ πολλοὺς ἐάσαντες φρουρεῖν τὰ σφέτερα διὰ τὰς τῶν ἐν Μασάδᾳ σικαρίων καταδρομάς, ἐδέχοντο τὸν Σίμωνα πρὸς τοῖς ὅροις. ⟨517⟩ ἔνθα συμβαλὼν αὐτοῖς καὶ δι' ὅλης πολεμήσας ἡμέρας οὔτε νενικηκὼς οὔτε νενικημένος διεκρίθη. καὶ ὁ μὲν εἰς τὴν Ἄϊν, οἱ δὲ Ἰδουμαῖοι διελύθησαν ἐπ' οἴκου. ⟨518⟩ καὶ μετ' οὐ πολὺ Σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν χώραν αὐτῶν ὥρμητο· στρατοπεδευσάμενος δὲ κατά τινα κώμην ἣ Θεκωὲ καλεῖται, πρὸς τοὺς ἐν Ἡρωδείῳ φρουρούς, ὅπερ ἦν πλησίον, Ἐλεάζαρόν τινα τῶν ἑταίρων ἔπεμψε πείσοντα παραδοῦναι τὸ ἔρυμα. ⟨519⟩ τοῦτον οἱ φύλακες ἑτοίμως ἐδέξαντο, τὴν αἰτίαν ἀγνοοῦντες δι' ἣν ἦκοι· φθεγξάμενον δὲ περὶ παραδόσεως ἐδίωκον σπασάμενοι τὰ ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυτὸν εἰς τὴν ὑποκειμένην φάραγγα. ⟨520⟩ καὶ ὃ μὲν αὐτίκα τελευτᾷ, τοῖς δὲ Ἰδουμαίοις ἤδη κατορρωδοῦσι τὴν ἰσχὺν τοῦ Σίμωνος, ἔδοξε πρὸ τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων.

⟨521⟩ εἰς τοῦτο δ' ὑπηρέτην ἑαυτὸν ἑτοίμως ἐπε- 6
δίδου Ἰάκωβος, εἷς τῶν ἡγεμόνων, προδοσίαν ἐνθυμούμενος. ⟨522⟩ ὁρμήσας γοῦν ἀπὸ τῆς Ἀλούρου (κατὰ γὰρ ταύτην συνήθροιστο τὴν κώμην τότε τῶν Ἰδουμαίων τὸ στράτευμα) παραγίγνεται πρὸς Σίμωνα, ⟨523⟩ καὶ πρώτην αὐτῷ παραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα, λαβὼν ὅρκους ὡς ἀεὶ τίμιος ὢν διατελεῖ, συνεργήσειν δὲ ὑπέσχετο καὶ περὶ τῆς ὅλης

Ἰδουμαίας. ⟨524⟩ *ἐφ' οἷς ἑστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ Σίμωνος καὶ λαμπραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους ὑπέστρεψεν, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν τοῦ Σίμωνος ἐψεύδετο,* ⟨525⟩ *ἔπειτα δεξιούμενος τούς θ' ἡγεμόνας καὶ κατ' ὀλίγους πᾶν τὸ πλῆθος ἐνῆγεν ὥστε δέξασθαι τὸν Σίμωνα καὶ παραδοῦναι δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν.* ⟨526⟩ *ἅμα δὲ ταῦτα διαπραττόμενος καὶ Σίμωνα δι' ἀγγέλων ἐκάλει, σκεδάσειν ὑπισχνούμενος τοὺς Ἰδουμαίους. ὃ δὴ παρέσχεν·* ⟨527⟩ *ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιά, πρῶτος ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε. πτόα δ' ἐμπίπτει παντὶ τῷ πλήθει,* ⟨528⟩ *καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν λυθέντες ἐκ τῆς τάξεως ἀνεχώρουν ἕκαστοι πρὸς τὰ ἴδια.*

⟨529⟩ *Σίμων δὲ παρὰ δόξαν εἰς τὴν Ἰδουμαίαν εἰσήλασεν ἀναιμωτί, καὶ προσβαλὼν ἀδοκήτως πρώτην αἱρεῖ τὴν πόλιν Χεβρών, ἐν ᾗ πλείστης ἐκράτησε λείας, πάμπολυν δὲ διήρπασε καρπόν.* ⟨530⟩ *ὡς δέ φασιν οἱ ἐπιχώριοι τὴν Χεβρὼν οὐ μόνον τῶν τῇδε πόλεων ἀλλὰ καὶ τῆς ἐν Αἰγύπτῳ Μέμφεως ἀρχαιοτέραν· δισχίλια γοῦν αὐτῇ καὶ τριακόσι' ἔτη συναριθμεῖται.* ⟨531⟩ *μυθεύουσι δ' αὐτὴν κατοικητήριον Ἀβράμου τοῦ Ἰουδαίων προγόνου γεγονέναι μετὰ τὴν ἐκ τῆς Μεσοποταμίας ἀπανάστασιν, τούς τε παῖδας αὐτοῦ λέγουσι καταβῆναι εἰς Αἴγυπτον ἔνθεν·* ⟨532⟩ *ὧν καὶ τὰ μνημεῖα μέχρι τοῦ νῦν ἐν τῇδε τῇ πολίχνῃ δείκνυται, πάνυ καλῆς μαρμάρου καὶ φιλοτίμως εἰργασμένα.* ⟨533⟩ *δείκνυται δ' ἀπὸ σταδίων ἓξ τοῦ ἄστεως τερέβινθος μεγίστη, καὶ φασὶ τὸ δένδρον ἀπὸ τῆς κτίσεως μέχρι νῦν διαμένειν.* ⟨534⟩ *ἔνθεν ὁ Σίμων*

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

καὶ χειροκοπήσας εἰσέπεμπε, καταπλήξασθαι τοὺς ἐχθροὺς ἅμα καὶ διαστῆσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς αἰτίους. ⟨543⟩ ἐντέταλτο δ' αὐτοῖς λέγειν ὅτι Σίμων θεὸν ὄμνυσι τὸν πάντων ἔφορον, εἰ μὴ θᾶτον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας τὸ τεῖχος τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς φεισάμενος ἡλικίας, μηδ' ἀπὸ τῶν ἀναιτίων διαχρίνας τοὺς αἰτίους. ⟨544⟩ τούτοις οὐ μόνον ὁ δῆμος ἀλλὰ καὶ οἱ ξηλωταὶ καταπλαγέντες ἀποπέμπουσιν αὐτῷ τὴν γυναῖκα.

9 ⟨545⟩ καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον ἀνεπαύσατο τοῦ συνεχοῦς φόνου· οὐ μόνον δὲ κατὰ τὴν Ἰουδαίαν στάσις ἦν καὶ πόλεμος ἐμφύλιος, ἀλλὰ κἀπὶ τῆς Ἰταλίας. ⟨546⟩ ἀνῄρητο μὲν γὰρ κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν Γάλβας, ἀποδεδειγμένος δ' αὐτοκράτωρ Ὄθων ἐπολέμει Οὐιτελλίῳ βασιλεῦντι (τοῦτον γὰρ ἦρητο τὰ κατὰ Γερμανίαν τάγματα)· ⟨547⟩ καὶ γενομένης συμβολῆς κατὰ Βηδριακὸν τῆς Γαλατίας πρός τε Οὐάλεντα καὶ Καικίνναν τοὺς Οὐιτελλίου στρατηγούς, τῇ πρώτῃ μὲν ἡμέρᾳ περιῆν Ὄθων, τῇ δευτέρᾳ δὲ τὸ Οὐιτελλίου στρατιωτικόν· ⟨548⟩ καὶ πολλοῦ φόνου γενομένου διεχρήσατο μὲν Ὄθων ἑαυτόν, ἐν Βριξέλλῳ τὴν ἧτταν πυθόμενος, ἡμέρας δύο καὶ τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων, ⟨549⟩ προσεχώρησε δὲ τοῖς Οὐιτελλίου στρατηγοῖς καὶ τοῦ Ὄθωνος ἡ στρατιά, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν Ῥώμην μετὰ τῆς δυνάμεως. ⟨550⟩ ἐν δὲ τούτῳ καὶ Οὐεσπασιανός, ἀναστὰς ἐκ τῆς Καισαρείας πέμπτῃ Δαισίου μηνός, ὥρμησεν ἐπὶ τὰ μηδέπω κατεστραμμένα τῶν τῆς Ἰουδαίας χωρίων. ⟨551⟩ ἀναβὰς δ' εἰς τὴν ὀρεινὴν αἱρεῖ δύο τοπαρχίας, τήν τε Γοφνιτικὴν καὶ τὴν Ἀκραβατηνήν καλου-

μένην, μεθ' ἃς Βηθηλᾶ τε καὶ Ἐφραΐμ πολίχνια, οἷς φρουροὺς ἐγκαταστήσας μέχρι Ἱεροσολύμων ἱππάζετο. φθορὰ δ' ἦν πολλῶν καταλαμβανομένων, καὶ συχνοὺς ἠχμαλωτίζετο. ⟨552⟩ Κερεάλιος δ' αὐτῷ τῶν ἡγεμόνων, μοῖραν ἱππέων καὶ πεζῶν ἀναλαβών, τὴν ἄνω καλουμένην Ἰδουμαίαν ἐπόρθει, καὶ Καφεθρὰ μὲν ψευδοπολίχνιον ἐξ ἐφόδου λαβὼν ἐμπίμπρησιν, ἑτέραν δὲ καλουμένην Καφαραβὶν προσβαλὼν ἐπολιόρκει. ⟨553⟩ πάνυ δ' ἦν ἰσχυρὸν τὸ τεῖχος, καὶ τρίψεσθαι προσδοκῶντι πλείω χρόνον αἰφνιδίως ἀνοίγουσιν οἱ ἔνδον τὰς πύλας, καὶ μεθ' ἱκετηριῶν προελθόντες αὐτοὺς παρέδοσαν. ⟨554⟩ Κερεάλιος δὲ τούτους παραστησάμενος ἐπὶ Χεβρὼν ἑτέρας πόλεως ἀρχαιοτάτης ἐχώρει (κεῖται δ', ὡς ἔφην, αὕτη κατὰ τὴν ὀρεινήν, οὐ πόρρω Ἱεροσολύμων), βιασάμενος δὲ τὰς εἰσόδους τὸ μὲν ἐγκαταληφθὲν πλῆθος ἡβηδὸν ἀναιρεῖ, τὸ δ' ἄστυ καταπίμπρησι. ⟨555⟩ καὶ πάντων ἤδη κεχειρωμένων πλὴν Ἡρωδείου καὶ Μασάδας καὶ Μαχαιροῦντος (ταῦτα δ' ὑπὸ τῶν λῃστῶν κατείληπτο), σκοπὸς ἤδη τὰ Ἱεροσόλυμα προύκειτο Ῥωμαίοις.

⟨556⟩ ὁ δὲ Σίμων ὡς ἐρρύσατο παρὰ τῶν ζηλωτῶν τὴν γυναῖκα, πάλιν ἐπὶ τὰ λείψανα τῆς Ἰδουμαίας ὑπέστρεψε, καὶ περιελαύνων πανταχόθεν τὸ ἔθνος εἰς Ἱεροσόλυμα τοὺς πολλοὺς φεύγειν συνηνάγκασεν. ⟨557⟩ εἶπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν πόλιν, καὶ κυκλωσάμενος αὖθις τὸ τεῖχος, ὅντινα λάβοι τῶν προϊόντων κατὰ τὴν χώραν ἐργατῶν, διέφθειρεν. ⟨558⟩ ἦν δὲ τῷ δήμῳ Σίμων μὲν ἔξωθεν Ῥωμαίων φοβερώτερος, οἱ ζηλωταὶ δ' ἔνδον ἑκατέρων χαλεπώτεροι. κἀν τούτοις ἐπινοίᾳ κακῶν καὶ τόλμῃ τὸ σύνταγμα τῶν Γαλιλαίων διέφερεν. ⟨559⟩ τόν τε γὰρ

Ἰωάννην παρήγαγον εἰς ἰσχὺν οὗτοι, κἀκεῖνος αὐτοὺς ἐξ ἧς περιεποιήσατο δυναστείας ἠμείβετο, πάντ' ἐπιτρέπων δρᾶν ὧν ἔκαστος ἐπεθύμει. ⟨560⟩ *πόθοι δ' ἦσαν ἁρπαγῆς ἀπλήρωτοι καὶ τῶν πλουσίων οἴκων ἔρευνα, φόνος τ' ἀνδρῶν καὶ γυναικῶν ὕβρεις ἐπαίζοντο,* ⟨561⟩ *μεθ' αἵματός τε τὰ συληθέντα κατέπινον καὶ μετ' ἀδείας ἐνεθηλυπάθουν τῷ κόρῳ, κόμας εὐθετιζόμενοι καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύροις καὶ πρὸς εὐπρέπειαν ὑπογράφοντες (τοὺς) ὀφθαλμούς.* ⟨562⟩ *οὐ μόνον δὲ κόσμον ἀλλὰ καὶ πάθη γυναικῶν ἐμιμοῦντο, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν. ἐνηλινδοῦντο δ' ὥσπερ πορνείῳ τῇ πόλει, καὶ πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις.* ⟨563⟩ *γυναικιζόμενοι δὲ τὰς ὄψεις ἐφόνων ταῖς δεξιαῖς, θρυπτόμενοί τε τοῖς βαδίσμασιν ἐπιόντες ἐξαπίνης ἐγίγνοντο πολεμισταί, τά τε ξίφη προφέροντες ἀπὸ τῶν βεβαμμένων χλανιδίων τὸν προστυχόντα διήλαυνον.* ⟨564⟩ *τοὺς ἀποδιδράσκοντας δὲ Ἰωάνγην Σίμων φονικώτερον ἐξεδέχετο, καὶ διαφυγών τις τὸν ἐντὸς τοῦ τείχους τύραννον ὑπὸ τοῦ πρὸ τῶν πυλῶν διεφθείρετο.* ⟨565⟩ *πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς Ῥωμαίους βουλομένοις ἀπεκέκοπτο.*

11 ⟨566⟩ *διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις, καὶ πᾶν ὅσον ἦν Ἰδουμαῖον ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει τῷ τυράννῳ φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς ὠμότητος.* ⟨567⟩ *συμβαλόντες δ' ἀναιροῦσί τε πολλοὺς τῶν ξηλωτῶν, καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς· συγγενὴς δ' ἦν αὕτη τοῦ τῶν Ἀδιαβηνῶν βασιλέως Ἴζάτου.* ⟨568⟩ *συνεισπίπτουσι δ' οἱ Ἰδου-*

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

Ἰωάννης δὲ καὶ τὸ τῶν ξηλωτῶν πλῆθος εἰργόμενοι τῶν ἐξόδων τοῦ ἱεροῦ καὶ τὰκ τῆς πόλεως ἀπολωλεκύτες (παραχρῆμα γὰρ τἀκείνων οἱ περὶ τὸν Σίμωνα διήρπασαν) ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. ⟨578⟩ *προσέβαλλε δὲ τῷ ἱερῷ Σίμων τοῦ δήμου βοηθοῦντος. κἀκεῖνοι καταστάντες ἐπὶ τῶν στοῶν καὶ τῶν ἐπάλξεων ἠμύνοντο τὰς προσβολάς.* ⟨579⟩ *συχνοὶ δ' ἔπιπτον τῶν περὶ Σίμωνα, καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως γὰρ ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ξηλωταὶ καὶ οὐκ ἀστόχους ἐποιοῦντο.* ⟨580⟩ *πλεονεκτοῦντες δὲ τῷ τόπῳ, καὶ πύργους ἔτι προσκατεσκεύασαν τέτταρας μεγίστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις, τὸν μὲν κατὰ τὴν ἀνατολικὴν καὶ βόρειον γωνίαν,* ⟨581⟩ *τὸν δὲ τοῦ ξυστοῦ καθύπερθεν, τὸν δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως.* ⟨582⟩ *ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστοφορίων, ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην ἑβδομάδα εἰσιοῦσαν προυσήμαινε σάλπιγγι δείλης, καὶ τελεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὁτὲ μὲν ἀργεῖν τῷ λαῷ καταγγέλλων, ὁτὲ δ' ἔργων ἔχεσθαι.* ⟨583⟩ *διέστησαν δ' ἐπὶ τῶν πύργων ὀξυβελεῖς τε καὶ λιθοβόλους μηχανὰς τούς τε τοξότας καὶ σφενδονήτας.* ⟨584⟩ *ἔνθα δὴ τὰς μὲν προσβολὰς ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων, μαλακιζομένων αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δ' ὅμως περιουσίᾳ δυνάμεως· τὰ δ' ἀπὸ τῶν ὀργάνων βέλη πορρωτέρω φερόμενα πολλοὺς τῶν μαχομένων ἀνῄρει.*

⟨585⟩ *κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώμην πάθη χαλεπά.* ⟨586⟩ *παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐιτέλλιος ἅμα τῷ στρατιωτικῷ πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον, μὴ χωρούμενος δὲ τοῖς ἀπο-*

δεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις ὅλην ἐποιήσατο τὴν Ῥώμην στρατόπεδον καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. ⟨587⟩ οἳ δ' ἀήθεσιν ὀφθαλμοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι, καὶ περιλαμφθέν-
5 τες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ, τὰς ἐπιθυμίας μόλις κατεῖχον ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαι τε καὶ τοὺς ἐμποδὼν γιγνομένους ἀναιρεῖν. καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν, ⟨588⟩ Οὐεσπασιανὸς 2
δ' ὡς τὰ πλησίον Ἱεροσολύμων καταστρεψάμενος ὑπέ-
10 στρεψεν εἰς Καισάρειαν, ἀκούει τὰς κατὰ τὴν Ῥώμην ταραχὰς καὶ Οὐιτέλλιον αὐτοκράτορα. ⟨589⟩ τοῦτ' οὖν αὐτόν, καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπιστάμενον, εἰς ἀγανάκτησιν προήγαγε, καὶ τὸν μὲν ὡς ἐρήμου καταμανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην,
15 ⟨590⟩ περιαλγήσας δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷός τ' ἦν, καὶ τῆς πατρίδος πορθουμένης ἑτέροις προσευσχολεῖν πολέμοις. ⟨591⟩ ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἡ ἔννοια τοῦ διαστήματος· πολλὰ γὰρ ἂν φθάσαι
20 πανουργήσασαν τὴν τύχην πρὶν αὐτὸν εἰς Ἰταλίαν περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα· σφαδάζουσαν ἤδη κατεῖχε τὴν ὀργήν.

⟨592⟩ συνιόντες δ' οἵ θ' ἡγεμόνες καὶ οἱ στρα- 3
τιῶται καθ' ἑταιρείαν φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο, καὶ διαγαναχτοῦντες ἐβόων ὡς οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται τρυφῶντες καὶ μηδ' ἀκούειν πολέμου φήμην ὑπομένοντες διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν, καὶ πρὸς ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας, ⟨593⟩ αὐτοὶ δὲ διὰ τοσούτων κεχωρηκότες πόνων, καὶ γηρῶντες ὑπὸ τοῖς κράνεσιν, ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα

τὸν ἀξιώτερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες· ⟨594⟩ ᾧ τίνα δικαιοτέραν ποτὲ τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβήν, εἰ τὴν νῦν καταπρόοιντο; τοσούτῳ δ' εἶναι Ὀεσπασιανὸν ἡγεμονεύειν Ὀιτελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκεῖνον ἀποδειξάντων· ⟨595⟩ οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας διενηνοχέναι πολέμους, οὐδὲ τῶν ἐκεῖθεν καταγόντων τὸν τύραννον ἡττῆσθαι τοῖς ὅπλοις. ⟨596⟩ ἀγῶνος δ' ἐνδεήσειν οὐδέν· οὐ γὰρ τὴν σύγκλητον ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς Ὀιτελλίου λαγνείας ἀντὶ τῆς Ὀεσπασιανοῦ σωφροσύνης, οὐδ' ἀντὶ μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δ' ἀντὶ πατρὸς αἱρήσεσθαι προστάτην. μέγιστον γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης εἶναι τὰς γνησίους τῶν βασιλέων ὑπεροχάς. ⟨597⟩ εἴτ' οὖν ἐμπειρίᾳ γήρως προσήκει τὸ ἄρχειν, Ὀεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ, Τίτον· κραθήσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. ⟨598⟩ χορηγήσειν δ' οὐ μόνον αὐτοὶ τότε τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσιν, ἅτε τρία τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντες, ἀλλὰ καὶ συνεργήσειν τά τε πρὸς ἕω πάντα καὶ τῆς Εὐρώπης ὅσα τῶν ἀπὸ Ὀιτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Ὀεσπασιανοῦ καὶ παῖδ' ἕτερον, ⟨599⟩ ὧν τῷ μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβο

νωσιν αὐτοί, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον.

4 ⟨601⟩ τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα συναθροισθέντες καὶ παρακροτήσαντες

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

Αἴγυπτος πάντοθεν· τὸ μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τ' ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξακοσίων. ⟨611⟩ *ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταράκτας.* ⟨612⟩ *δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξανδρείας· στενός τε γὰρ εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτόμενος δρόμον.* ⟨613⟩ *καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφραχται χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δ' ἡ προσαγορευομένη Φάρος νησὶς πρό κειται, πύργον ἔχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου.* ⟨614⟩ *περὶ ταύτην τὴν νησῖδα καταβέβληται χειροποίητα τείχη μέγιστα· προσαραττόμενον δὲ τούτοις τὸ πέλαγος, καὶ τοῖς ἄντικρυς ἔρχεσιν ἀμφιρρηγνύμενον, ἐκτραχύνει τὸν πόρον καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται.* ⟨615⟩ *ὁ μέντοι γε λιμὴν ἔνδον ἀσφαλέστατος, καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται, καὶ τὰ περιττεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν μερίζεται τὴν οἰκουμένην.*

6 ⟨616⟩ *ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Οὐεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας, ἐπιστέλλει δ' εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμονίας συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνει.* ⟨617⟩ *παραναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε τάγματα καὶ τὸ πλῆθος*

εἰς αὐτὸν ὥρμωσεν. ἑκάτεροι δ' ἀσμένως ὑπήκουσαν, τὴν ἀρετὴν τἀνδρὸς ἐκ τῆς ἐγγὺς στρατηγίας εἰδότες. ⟨618⟩ καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ τὴν ἀρχήν, προπαρεσκεύαξεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν· τάχιον δ' ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἐώρταξεν, εὐαγγέλια δὲ καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. ⟨619⟩ τὰ δὲ κατὰ Μυσίαν καὶ Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν Ὀιτελλίου τόλμαν, μείξονι χαρᾷ Ὀεσπασιανῷ τὴν ἡγεμονίαν ὤμνυον. ⟨620⟩ ὁ δ' ἀναζεύξας ἀπὸ Καισαρείας εἰς Βηρυτὸν παραγίγνεται, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς Συρίας αὐτῷ, πολλαὶ δὲ κἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφάνους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ προσφέρουσαι ψηφίσματα. ⟨621⟩ παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας ἡγεμών, τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων.

⟨622⟩ προχωρούσης δὲ παντα χοῦ κατὰ νοῦν τῆς τύχης, καὶ τῶν πραγμάτων συννενευκότων ἐκ τοῦ πλείστου μέρους, ἤδη παρίστατο τῷ Ὀεσπασιανῷ νοεῖν ὡς οὐ δίχα δαιμονίου προνοίας ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις εἱμαρμένη περιάγοι τὸ κρατεῖν τῶν ὅλων ἐπ' αὐτόν. ⟨623⟩ ἀναμιμνήσκεται γὰρ τά τ' ἄλλα σημεῖα (πολλὰ δ' αὐτῷ γεγόνει παντα χοῦ προφαίνοντα τὴν ἡγεμονίαν) καὶ τὰς τοῦ Ἰωσήπου φωνάς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρρησεν. ⟨624⟩ ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτ' ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐκδιηγεῖτο καὶ ὅσα περὶ τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμον, ⟨625⟩ ἔπειτα τὰς μαν-

Αἴγυπτος πάντοθεν· τὸ μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τ' ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξακοσίων. ⟨611⟩ ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταράκτας. ⟨612⟩ δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξανδρείας· στενός τε γὰρ εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτόμενος δρόμον. ⟨613⟩ καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφρακται χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δ' ἡ προσαγορευομένη Φάρος νησὶς πρό κειται, πύργον ἔχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. ⟨614⟩ περὶ ταύτην τὴν νησῖδα καταβέβληται χειροποίητα τείχη μέγιστα· προσαραττόμενον δὲ τούτοις τὸ πέλαγος, καὶ τοῖς ἄντικρυς ἔρκεσιν ἀμφιρρηγνύμενον, ἐκτραχύνει τὸν πόρον καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται. ⟨615⟩ ὁ μέντοι γε λιμὴν ἔνδον ἀσφαλέστατος, καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται, καὶ τὰ περιττεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν μερίζεται τὴν οἰκουμένην.

6 *⟨616⟩ ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Οὐεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας, ἐπιστέλλει δ' εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμονίας συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνει. ⟨617⟩ παραναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε τάγματα καὶ τὸ πλῆθος*

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

Never be without a book!

Forgotten Books Full Membership gives universal access to 797,885 books from our apps and website, across all your devices: tablet, phone, e-reader, laptop and desktop computer

A library in your pocket for $8.99/month

Continue

*Fair usage policy applies

τείας, ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσματα τοῦ δέους, ἀποδειχθῆναι δ' ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. ⟨626⟩ 'αἰσχρὸν οὖν' ἔφη 'τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς τοῦ θεοῦ φωνῆς ἔτ' αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην ὑπομένειν.' καὶ καλέσας τὸν Ἰώσηπον λυθῆναι κελεύει. ⟨627⟩ τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς πρὸς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ καὶ περὶ αὑτῶν ἐλπίζειν παρέστη, συνὼν δὲ τῷ πατρὶ Τίτος ⟨628⟩ 'δίκαιον, ὦ πάτερ,' ἔφη 'τοῦ Ἰωσήπου καὶ τοὔνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψωμεν τὰ δεσμά.' τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. συνεδόκει δὲ ταῦτα, καὶ παρελθών τις πελέκει διέκοψε τὴν ἅλυσιν. ⟨629⟩ ὁ δὲ Ἰώσηπος εἰλικρινῶς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν, ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

11 ⟨630⟩ Ὀὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. ⟨631⟩ καὶ βουλευόμενος ποῖ χρὴ τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δ' ὑπὸ Ὀὐιτελλίου ταραττόμενα. ⟨632⟩ πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύναμιν. ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

2 ⟨633⟩ ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν (ἔτυχε δ' ἡγεμονεύων αὐτόθι), Ὀὐιτελλίῳ παραταξόμενος ἠπείγετο. ⟨634⟩ Ὀὐιτέλλιος δ' αὐτῷ συναντήσοντα μετὰ

πολλῆς δυνάμεως Καικίναν Ἀλιηνὸν ἐκπέμπει, μέγα θαρρῶν τάνδρὶ διὰ τὴν ἐπ᾽ Ὄθωνι νίκην. δ δ᾽ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρεμῶνα τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δ᾽ ἐστὶν ἡ πόλις αὕτη τῆς Ἰταλίας. ⟨635⟩ κατιδὼν δ᾽ ἐνταῦθα τὸ πλῆθος τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβαλεῖν μὲν οὐκ ἐθάρρει, σφαλερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος προδοσίαν ἐβουλεύετο. ⟨636⟩ συναγαγὼν δὲ τοὺς ὑφ᾽ αὑτὸν ἑκατοντάρχους καὶ χιλιάρχους ἐνῆγε μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν μὲν τὰ Ὀὐιτελλίου πράγματα, τὴν Ὀὐεσπασιανοῦ δ᾽ ἰσχὺν ἐπαίρων, ⟨637⟩ καὶ παρ᾽ ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς ὄνομα, παρ᾽ ᾧ δὲ τὴν δύναμιν, καὶ αὐτοὺς δ᾽ ἄμεινον εἶναι προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν, καὶ μέλλοντας ἡττᾶσθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι· ⟨638⟩ Ὀὐεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι καὶ χωρὶς αὐτῶν προσκτήσασθαι καὶ τὰ λείποντα, Ὀὐιτέλλιον δ᾽ οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα.

⟨639⟩ πολλὰ τοιαῦτα λέγων ἔπεισε, καὶ πρὸς τὸν Ἀντώνιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. ⟨640⟩ τῆς δ᾽ αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις καὶ δέος τοῦ προπέμψαντος, εἰ᾽χρείττων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη τὸν Καικίναν ὥρμησαν ἀνελεῖν. κἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν αὐτούς. ⟨641⟩ οἳ δὲ τοῦ κτεῖναι μὲν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην οἷοί τ᾽ ἦσαν πέμπειν Ὀὐιτελλίῳ. ταῦτ᾽ ἀκούσας ὁ Πρῖμος αὐτίκα τοὺς σφετέρους ἀνίστησι καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. ⟨642⟩ οἳ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντέσχον, αὖθις δὲ τραπέντες

τείας, ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσματα τοῦ δέους, ἀποδειχθῆναι δ' ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. ⟨626⟩ 'αἰσχρὸν οὖν' ἔφη 'τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς τοῦ θεοῦ φωνῆς ἔτ' αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην ὑπομένειν.' καὶ καλέσας τὸν Ἰώσηπον λυθῆναι κελεύει. ⟨627⟩ τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς πρὸς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη, συνὼν δὲ τῷ πατρὶ Τίτος ⟨628⟩ 'δίκαιον, ὦ πάτερ,' ἔφη 'τοῦ Ἰωσήπου καὶ τοὔνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψωμεν τὰ δεσμά.' τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. συνεδόκει δὲ ταῦτα, καὶ παρελθών τις πελέκει διέκοψε τὴν ἅλυσιν. ⟨629⟩ ὁ δὲ Ἰώσηπος εἰλη- 15
φὼς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν, ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

11 ⟨630⟩ Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. ⟨631⟩ καὶ 20
βουλευόμενος ποῖ χρὴ τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δ' ὑπὸ Οὐιτελλίου ταραττόμενα. ⟨632⟩ πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύνα- 25
μιν. ὃ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

2 ⟨633⟩ ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν (ἔτυχε δ' ἡγεμονεύων αὐτόθι), Οὐιτελλίῳ παραταξόμενος ἠπεί- 30
γετο. ⟨634⟩ Οὐιτέλλιος δ' αὐτῷ συναντήσοντα μετὰ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Know Your Bible

Forgotten Books' Full Membership provides unlimited access to more than 28,000 volumes of Christian literature for $8.99/month

Continue

*Fair use policy applies

